UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Kirchengeschichte

### Eusebius <Caesariensis>

### Leipzig, 1908

Περὶ τῶν ἐν Παλαιστίνῃ μαρτυρησάντων

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2093

Visual Library

# ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΑΛΑΙΣΤΙΝΗΙ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ

*Ἔτος τοῦτο ἦν ἐννεακαιδέκατον τῆς Διοκλητιανοῦ βασιλείας,* 1 303
*Ξανθικὸς μήν, ὃς λέγοιτ' ἂν Ἀπρίλλιος κατὰ Ῥωμαίους, ἐν ᾧ, τῆς*
*τοῦ σωτηρίου πάθους ἑορτῆς ἐπιλαμβανούσης, ἡγεῖτο μὲν Φλαυιανὸς*
*τοῦ τῶν Παλαιστίνων ἔθνους, ἥπλωτο δ' ἀθρόως πανταχοῦ γράμ-*
*ματα, τὰς μὲν ἐκκλησίας εἰς ἔδαφος φέρειν, τὰς δὲ γραφὰς ἀφανεῖς*
*πυρὶ γενέσθαι προστάττοντα καὶ τοὺς μὲν τιμῆς ἐπειλημμένους ἀτί-*
*μους, τοὺς δὲ ἐν οἰκετίαις, εἰ ἐπιμένοιεν τῇ τοῦ Χριστιανισμοῦ*
*προθέσει, ἐλευθερίας στερίσκεσθαι προαγορεύοντα. καὶ ἡ μὲν τῆς* 2
*πρώτης καθ' ἡμῶν γραφῆς τοιαύτη τις ἦν δύναμις· μετ' οὐ πολὺ*
*δὲ ἑτέρων ἐπιφοιτησάντων γραμμάτων, προσετάττετο τοὺς τῶν*
*ἐκκλησιῶν προέδρους πάντας πανταχῇ πρῶτον μὲν δεσμοῖς παραδί-*
*δοσθαι, εἶθ' ὕστερον πάσῃ μηχανῇ θύειν ἐξαναγκάζεσθαι.*

*Πρῶτος τοιγαροῦν τῶν ἐπὶ Παλαιστίνης μαρτύρων Προκόπιος,* 1 1
*πρὶν ἢ φυλακῆς πεῖραν λαβεῖν, εὐθὺς ἀπὸ πρώτης εἰσόδου, τοῖς*
*ἡγεμονικοῖς παραστὰς δικαστηρίοις θύειν τε τοῖς λεγομένοις προστα-*
*χθεὶς θεοῖς, ἕνα μόνον ἔφησεν εἰδέναι, ᾧ καθῆκεν ὡς αὐτὸς βού-*
*λεται θύειν· ὡς δὲ κἂν τοῖς βασιλεῦσι τέσσαρσιν σπένδειν ἐκελεύετο,*
*ῥῆμά τι φθεγξάμενος τῶν οὐ προσηνῶν αὐτοῖς, αὐτίκα τὴν κεφαλὴν*
*ἀποτέμνεται, τὸ ποιητικὸν εἰπὼν ἐκεῖνο ›οὐκ ἀγαθὸν πολυκοιρανίη,*

**14** vgl. 742, 9—20 — **21**/908, 1 *B* 204

ATER [die längere, von Euseb selbst herrührende Recension (g) ist vollständig nur syrisch (s) erhalten, veröffentlicht von Cureton, history of the martyrs in Palestine by Eusebius, London 1861 ($s^1$) und teilweise von Assemani, Acta Martyrum 2, 166 ($s^2$), übersetzt von Violet, TU 14 (1896)]

Überschrift *καὶ ταῦτα ἔν τινι ἀντιγράφωι ἐν τῶι Η τόμω εὕρομεν* A *ταῦτα ἔν τινι ἀντιγράφω ἐν τῶ ὀγδόω τόμω εὕραμεν* [*εὕρομεν* E] TE *τινὰ τῶν ἀντιγράφων ἔχουσι καὶ ταῦτα ἐν τῶ ὀγδόω τόμω* R über den Titel vgl. zum Schluss

908 εἷς κοίρανος ἔστω, εἷς βασιλεύς‹. Δαισίου μηνὸς ἑβδόμῃ (πρὸ ἑπτὰ 2 303
εἰδῶν Ἰουνίων λέγοιτ' ἂν παρὰ Ῥωμαίοις), ἡμέρᾳ τετράδι σαββά-
του τοῦτο πρῶτον ἐπὶ Καισαρείας τῆς Παλαιστίνης ἀπετελέσθη
σημεῖον.

μετὰ δὲ τοῦτον ἐπὶ τῆς αὐτῆς πόλεως πλεῖστοι ὅσοι τῶν ἐπι- 3
χωρίων ἐκκλησιῶν ἄρχοντες δειναῖς αἰκίαις προθύμως διαθλήσαντες,
μεγάλων ἀγώνων ἱστορίαν τοῖς ἐνορῶσιν ἐνεδείξαντο, ἄλλοι δὲ ὑπὸ
δειλίας τὴν ψυχὴν προναρκήσαντες προχείρως οὕτως ἀπὸ πρώτης
ἐξησθένησαν προσβολῆς, τῶν δὲ λοιπῶν ἕκαστος εἴδη διάφορα βασά-
νων διήλλαττον, τοτὲ μὲν μάστιξιν ἀνηρίθμοις, τοτὲ δὲ στρεβλώσεσιν
καὶ καταξάνσεσιν τῶν πλευρῶν δεσμοῖς τε ἀνυπομονήτοις, ὑφ' ὧν
τισὶ καὶ παρεθῆναι συνέβη τὰς χεῖρας, ὅμως δ' οὖν ἔφερον τὸ ἀπο- 4
βὰν ἀκολούθως ταῖς ἀπορρήτοις κρίσεσιν τοῦ θεοῦ τέλος. ὁ μὲν
γὰρ ἑτέρων κατεχόντων αὐτὸν τὼ χεῖρε καὶ τῷ βωμῷ προσαγόντων
τήν τε μιαρὰν καὶ ἐναγῆ θυσίαν κατὰ τῆς δεξιᾶς ἐπιρριπτούντων,
ὡς ἂν τεθυκὼς ἀπηλλάττετο, ὁ δὲ μηδ' ὅλως ἐφαψάμενος, εἰρηκό-
των δ' ἑτέρων ὅτι τεθύκοι, σιωπήσας ἀπῄει, ἄλλος ἡμιθνὴς αἰρό-
μενος ὡς ἂν ἤδη νεκρὸς ἐρρίπτετο καὶ ἀνίετό γε τῶν δεσμῶν, ἐν
τεθυκόσιν αὐτοῖς λελογισμένος, ὁ δὲ βοῶν καὶ μαρτυρόμενος ὅτι μὴ
πείθοιτο, κατὰ στόματος παιόμενος πολυχειρίᾳ τε τῶν ἐπὶ τοῦτο
τεταγμένων κατασιγαζόμενος, μετὰ βίας ἐξωθεῖτο, καὶ εἰ μὴ τεθυκὼς
ἦν· οὕτως ἐκ παντὸς τὸ δοκεῖν ἠνυκέναι αὐτοῖς περὶ πολλοῦ 5
ὑπῆρχεν.

ἐκ δὴ οὖν τῶν τοσούτων μόνοι τοῦ τῶν ἁγίων μαρτύρων κατ-
ηξιώθησαν στεφάνου Ἄλφειος καὶ Ζακχαῖος· οἳ μετὰ μάστιγας καὶ
ξεσμοὺς δεσμά τε χαλεπὰ καὶ τὰς ἐπὶ τούτοις ἀλγηδόνας ἑτέρας τε
διαφόρους ἐξετάσεις νυχθήμερον ὑπὸ τέσσαρα τοῦ κολαστηρίου ξύλου
κεντήματα τοὺς πόδας παραταθέντες, Δίου μηνὸς ἑπτακαιδεκάτῃ 303
909 (αὕτη παρὰ Ῥωμαίοις ἡ πρὸ δεκαπέντε Καλανδῶν Δεκεμβρίων)
μόνον ἕνα θεὸν καὶ μόνον Χριστὸν βασιλέα Ἰησοῦν ὁμολογήσαντες,
ὥς τι βλάσφημον φθεγξάμενοι, ὁμοίως τῷ προτέρῳ μάρτυρι τὰς
κεφαλὰς ἀπετμήθησαν.

**5—23** vgl. 742, 20—744, 14

ATER

**1** δεσίου ATER *Desii septima Iulii mensis quae Nonas Iulias dicitur apud Latinos* lateinische Übersetzung von g bei Valois z. d. St. | ἑβδόμῃ TERs ὀγδόῃ A der 7. Juni 303 war ein Montag, in s und der lateinischen Übersetzung von g fehlt die Angabe des Wochentags | **7** ἄλλοι δὲ A ἄλλοι μὲν R ἀλλ' οἱ μὲν TE | **14** αὐτὸν $T^1E^1R$ αὐτοῦ $AT^rE^r$ | **17** ἡμιθνὴς Schw ἡμιθανὴς ATER | **25** ἀλφειδσ A ἀλφιδσ $T^1$ ἄλφιοσ $T^cER$

909 Μνήμης δ' ἄξια τυγχάνει καὶ τὰ περὶ Ῥωμανὸν ἐν Ἀντιοχείᾳ 2 1
ἐπὶ τῆς αὐτῆς ἡμέρας ἀποτελεσθέντα. Παλαιστινὸς γὰρ οὗτος
ὢν διάκονός τε καὶ ἐπορκιστὴς τῆς ἐν Καισαρείᾳ παροικίας, ὁμοῦ
τῇ τῶν ἐκκλησιῶν καθαιρέσει γενόμενος ἐκεῖσε, πλείους ἄνδρας ἅμα
γυναιξὶν καὶ τέκνοις σωρηδὸν τοῖς εἰδώλοις προσιόντας τε καὶ θύ-
οντας ἐνιδών, ἀνύποιστον ἡγησάμενος τὴν θέαν, ζήλῳ θεοσεβείας
πρόσεισιν κἀκείνοις μεγάλῃ φωνῇ κεκραγὼς ἐπιπλήττει· αὐτὸς δὲ 2
τῆς τόλμης ἕνεκεν συλληφθείς, γενναιότατος, εἰ καί τις ἄλλος, ἀπο-
δέδεικται μάρτυς τῆς ἀληθείας. ἀποφηναμένου γὰρ κατ' αὐτοῦ τὸν
διὰ πυρὸς θάνατον τοῦ δικαστοῦ, φαιδρῷ προσώπῳ καὶ διαθέσει εὖ
μάλα προθυμοτάτῃ τὴν ἀπόφασιν ἀσπαστῶς καταδεξάμενος ἀπάγεται·
εἶτα τῷ ἰκρίῳ προσδεῖται, τῆς τε ὕλης συμπεφορημένης ἐπ' αὐτῷ
καὶ τῶν μελλόντων ὑφάπτειν τὴν πυρὰν τὴν βασιλέως ἐπιπαρόντος
ἐπίκρισιν ἐκδεχομένων, »ποῦ μοι τὸ πῦρ;« ἐβόα· καὶ ταῦτα λέγων, 3
ἀνάκλητος πρὸς βασιλέα γίνεται, καινοτέρᾳ ὑποβληθησόμενος κολάσει
τῆς γλώττης· ἧς ἀποκοπὴν ἀνδρειότατα ὑπομείνας, ἔργοις ἅπασιν
ὑπέδειξεν ὅτι δὴ θεία δύναμις τοῖς ὅ τί ποτ' οὖν χαλεπὸν ὑπὲρ εὐ-
σεβείας ὑπομένουσιν ἐπελαφρίζουσα τοὺς πόνους καὶ τὴν προθυμίαν
ἐπιρρωννῦσα παρίσταται. μαθὼν γοῦν τὴν καινουργίαν τῆς κο-
λάσεως καὶ μὴ καταπλαγεὶς ὁ γεννάδας ἀσμένως προυβάλλετο τὴν
γλῶτταν, προθυμότατα εὐτρεπῆ παρέχων αὐτὴν τοῖς ἀποτέμνουσιν·
μεθ' ἣν τιμωρίαν εἰς δεσμὰ βληθεὶς πλεῖστόν τε αὐτόθι πονηθεὶς 4
χρόνον, τέλος τῆς ἀρχικῆς εἰκοσαετηρίδος ἐπιστάσης κατὰ νομιζο-
μένην δωρεὰν τῶν ἐν τοῖς δεσμοῖς πανταχῇ πάντων ἐλευθερίας ἀνα-
κηρυχθείσης, μόνος ὑπὸ πέντε κεντήματα ἄμφω τὼ πόδε διαταθείς,
ἐν αὐτῷ κείμενος τῷ ξύλῳ βρόχῳ περιβληθείς, ὡς καὶ ἐπεπόθει,
μαρτυρίῳ κατεκοσμήθη. ἀλλ' οὗτός γε, εἰ καὶ ὑπερόριος, ὅμως 5
Παλαιστινὸς ὤν, ἐν Παλαιστινοῖς ἄξιος ἂν εἴη μάρτυσιν ἀριθ-
μεῖσθαι. ταῦτα μὲν ἔτει πρώτῳ τοῦτον ἀπετελέσθη τὸν τρό-
πον, κατὰ μόνων τῶν τῆς ἐκκλησίας προέδρων ἐπηρτημένου τοῦ
διωγμοῦ·

910 δευτέρου δ' ἔτους διαλαβόντος καὶ δὴ σφοδρότερον ἐπιταθέντος 3 1 304/5
τοῦ καθ' ἡμῶν πολέμου, τῆς ἐπαρχίας ἡγουμένου τηνικάδε Οὐρ-
βανοῦ, γραμμάτων τοῦτο πρῶτον βασιλικῶν πεφοιτηκότων, ἐν οἷς
καθολικῷ προστάγματι πάντας πανδημεὶ τοὺς κατὰ πόλιν θύειν τε
καὶ σπένδειν τοῖς εἰδώλοις ἐκελεύετο, Τιμόθεος ἐν Γάζῃ, πόλει τῆς
Παλαιστίνης, μυρίας ἀνατλὰς βασάνους, ἐπὶ πάσαις λεπτῷ καὶ μαλ-

ATER

**20** ἧσ AR$^{c}$ ἣν TER$^{1}$ | **25** εὐτρεπῆ AT$^{r}$ εὐπρεπῆ T$^{1}$ER

**3** τοῦτο T$^{r}$E$^{1}$ τούτω AT$^{1}$E$^{c}$R | **5** πόλει τῆσ AT$^{r}$E$^{c}$R πολίτησ T$^{1}$E$^{1}$

910 θακῷ πυρὶ παραδοθείς, δοκιμὴν γνησιωτάτην τῆς περὶ τὸ θεῖον
γνησιότητος εὐσεβείας διὰ τῆς πρὸς πάντα ὑπομονῆς παρασχών,
τὸν τῶν ἱερονίκων τῆς θεοσεβείας ἀθλητῶν στέφανον ἀπηνέγ-
κατο. τούτῳ δ' ἅμα γενναιοτάτην ἔνστασιν ἐπιδειξάμενοι Ἀγάπιος
καὶ ἡ καθ' ἡμᾶς Θέκλα θηρίοις εἰς βορὰν κατεδικάσθησαν. τὰ 2
ἐπὶ τούτοις τίς ἰδὼν οὐκ ἐθαύμασεν, ἢ καὶ ἀκοῇ μαθὼν οὐκ ἐξε-
πλάγη; πάνδημον γάρ τοι τῶν ἐθνῶν ἑορτὴν καὶ συνήθεις θέας
ἀγόντων, μετὰ τῶν ἄλλως αὐτοῖς σπουδαζομένων καὶ τοὺς ἀρ-
τίως θηρίοις κατακριθέντας πολὺς ἦν ὁ λόγος ἐπιδείξεσθαι τὸν
ἀγῶνα. αὐξούσης δῆτα καὶ πλεοναζούσης παρὰ πᾶσι τῆς φήμης, 3
νεανίαι τὸν ἀριθμὸν ἕξ, ὧν ὁ μὲν Ποντικὸς τὸ γένος ἦν, ὄνομα
Τιμόλαος, ὁ δ' ἐκ Τριπόλεως τῆς Φοινίκης, Διονύσιος ἐκαλεῖτο,
ἕτερος δ' αὐτῶν τῆς ἐν Διοσπόλει παροικίας ὑποδιάκονος, Ῥωμύλος
ἦν καὶ τούτῳ προσηγορία, δύο τε ἐπὶ τούτοις Αἰγύπτιοι, Πάησις
καὶ Ἀλέξανδρος, καὶ ἄλλος τούτῳ συνώνυμος Ἀλέξανδρος τῶν ἀπὸ
Γάζης, ἐπὶ τὸ κυνηγέσιον ἀνιέναι μέλλοντι τῷ Οὐρβανῷ, ἐνδήσαντες
πρότερον τὰς αὐτῶν χεῖρας, ὡς ἂν τὴν ἄγαν σημήνειαν περὶ τὸ
μαρτύριον προθυμίαν, δρομαῖοι προσίασιν, Χριστιανοὺς σφᾶς ὁμο-
λογοῦντες διά τε τῆς πρὸς πάντα τὰ δεινὰ παρατάξεως, ὅτι μηδὲ
τὰς τῶν θηρίων ἐπιβολὰς οἱ τὴν εἰς τὸν τῶν ὅλων θεὸν εὐσέβειαν
αὐχοῦντες κατεπτήχασιν, ἐπιδεικνύμενοι. αὐτίκα μὲν εἰς οὐ τὴν 4
τυχοῦσαν κατάπληξιν αὐτόν τε τὸν ἄρχοντα καὶ τοὺς ἀμφ' αὐτὸν
καταστήσαντες, δεσμωτηρίῳ καθείργνυνται, μετ' οὐ πολλὰς δὲ ἡμέρας
δυεῖν αὐτοῖς ἄλλων καταλεγέντων, τοῦ μὲν καὶ πρὸ αὐτῶν δειναῖς
καὶ ποικίλαις ἤδη πρότερον καθ' ἑτέρας ὁμολογίας ἐναθλήσαντος
911 βασάνοις, Ἀγάπιος καὶ αὐτῷ ὄνομα ἦν, τοῦ δὲ τὰς τοῦ σώματος
αὐτοῖς χρείας διακονουμένου, ὄνομα δὲ καὶ τούτῳ Διονύσιος, οἱ
πάντες, ὀκτὼ γενόμενοι τὸν ἀριθμόν, ἐν ἡμέρᾳ μιᾷ τὰς κεφαλὰς
αὖθις ἐπ' αὐτῆς Καισαρείας ἀποτέμνονται, Δύστρου μηνὸς ἡμέρᾳ 305
τετράδι καὶ εἰκάδι, ἣ πρὸ ἐννέα Καλανδῶν Ἀπριλλίων καὶ αὐτὴ
οὖσα ἐτύγχανεν.

Ἐν τούτῳ μεταβολή τις τῶν κρατούντων, αὐτοῦ δὴ τοῦ πάν- 5
των ἀνωτάτω καὶ τοῦ μετ' αὐτὸν δευτέρου, ἐπὶ τὸ ἰδιωτικὸν σχῆμα
γίνεται, νοσεῖν τε αὐτοῖς ἄρχεται τὰ κοινά· μικρὸν δ' ὕστερον δια- 6

ATER

7 *γνησιωτάτην* getilgt $E^r$ *γησιωτάτην* R | **8** *γνησιότητοσ* $T^1E^1$ *γνησιωτάτησ* $AT^rE^rR$ | **15** *ὁ* A > TER | *ἐπιδείξεσθαι* s *ἐπιδείξασθαι* ATER | **19** *αὖ τῶν* ER | **22** *ἀνιέναι* TER *οὖν ἀνιέναι* A | **31** *ἐναθλήσαντοσ* A *ἀναθλήσαντοσ* $T^1$ *ἀνατλήσαντοσ* $T^cER$

**1** *βασάνοισ* AR *βασάνουσ* TE

911 στάσης εἰς ἑαυτὴν τῆς Ῥωμαίων ἀρχῆς, πόλεμος ἄσπονδος εἰς αὐ-
τοὺς ἐπεγείρεται, οὐ πρότερόν τε τὰ τῆς διαστάσεως καὶ τῶν ἐπὶ
ταύτῃ θορύβων κατάστασιν εἴληφεν, ἢ τὴν καθ᾽ ἡμᾶς εἰρήνην καθ᾽ ὅλης
πρυτανευθῆναι τῆς ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν οἰκουμένης. ἅμα 7
τε γὰρ αὕτη τοῖς πᾶσιν δίκην φωτὸς ὡς ἂν ἐκ ζοφερᾶς καὶ σκοτει-
νοτάτης νυκτὸς ἀνατέταλκεν, καὶ αὖ πάλιν τὰ κοινὰ τῆς Ῥωμαίων
ἡγεμονίας αὖθις εὐσταθῆ καὶ φίλια καὶ εἰρηναῖα ἦν, τὴν ἐκ προ-
γόνων εἰς ἀλλήλους εὔνοιαν ἀπολαμβάνοντα. ἀλλὰ τούτων μὲν
κατὰ τὸν προσήκοντα καιρὸν ἐντελέστερον ἀποδώσομεν τὸν λόγον,
νυνὶ δὲ ἐπὶ τὴν τῶν ἑξῆς ἀπίωμεν ἀκολουθίαν.

Μαξιμῖνος Καῖσαρ αὐτόθεν ἐπὶ τὴν ἀρχὴν παρελθὼν ὥσπερ 4 1
τῆς ἐμφύτου θεοεχθρίας αὐτοῦ καὶ δυσσεβείας τὰ σύμβολα τοῖς
πᾶσιν ἐνδεικνύμενος, γεννικώτερον ἢ οἱ πρόσθεν τῷ καθ᾽ ἡμῶν
ἐπαπεδύετο διωγμῷ. πᾶσι δῆτα συγχύσεως οὐ μικρᾶς ἐπηωρημένης 2
912 καὶ ἄλλων ἄλλοσε διασπειρομένων διαδρᾶναί τε τὸ δεινὸν ἐπιμελὲς
ποιουμένων χαλεπῆς τε τὸ πᾶν ἐπεχούσης κινήσεως, τίς ἂν ἐξαρκέ-
σειεν ἡμῖν λόγος εἰς τὴν ἐπαξίαν διήγησιν τοῦ θείου ἔρωτος καὶ
παρρησίας τῆς εἰς θεὸν ὁμολογίας τοῦ μακαρίου καὶ ὡς ἀληθῶς
ἀμνοῦ ἀκάκου μάρτυρος, Ἀπφιανόν φημι τὸν πρὸ πυλῶν ἐπὶ θεω-
ρίαν ἅπασι τοῖς κατὰ Καισάρειαν θαυμαστὸν παράδειγμα τῆς εἰς

911 **20** — S. 920, 4 g ist von den Bollandisten in zwei Handschriften [m = Marc. 359, v = Vat. 1660] aufgefunden und Anal. Boll. 16, 122 ff. veröffentlicht; die Überschrift lautet *Μηνὶ τῶι αὐτῶι β΄. Μαρτύριον Ἀπφιανοῦ* [*ἀμφιανοῦ* v durchweg] *καὶ Αἰδεσίου ὁμομητρίων ἀδελφῶν πρὸ β΄ Νωνῶν Ἀπριλλίων.* Gleichgiltige Schreibfehler vermerke ich nicht.

Δεινὸς ὄφις καὶ τύραννος ἀπηνὴς ἄρτι τότε νεαρᾶς τῆς κατὰ πάντων ἐπι- 4 1
λαβόμενος ἀρχῆς αὐτόθεν τε ὥσπερ ἀφ᾽ ἑστίας θεομαχεῖν ὡρμημένος, νεανικώ-
τερον ἢ οἱ ἔμπροσθεν αὐτοῦ γενόμενοι τῶι καθ᾽ ἡμῶν ἐπαπεδύετο διωγμῶι· Μαξι-
μῖνος οὗτος ἦν. συγχύσεως δῆτα πικρᾶς ἐπηιωρημένης ἅπασι τοῖς τὰς πόλεις 2
912 οἰκοῦσιν ἄλλων τε ἀλλαχόσε διασπειρομένων καὶ τὰ περιέχοντα κακὰ σπουδὴν
διαδρᾶναι ποιουμένων, τίς ⟨ἂν⟩ ἐπαρκέσειεν ἡμῖν λόγος εἰς ἐπαξίαν διήγησιν τοῦ

ATER

**16** *φίλια* A *φίλα* TER | **20** *ὥσπερ* A *ὡσπερεὶ* $E^r$ *ὃσ περὶ* $TE^1R$

**23** *ἐπηιωρημένησ* $E^1$ corr., R *ἐπαιωρημένησ* $AT^1E$

**5** *ἀπφιανὸν* $E^r$ *ἀπφιανοῦ* $ATE^1R$ | *τὸν πρὸ πυλῶν* $T^cE$ *τῶν προπύλων* $AT^1$ *τοῦ πρὸ πυλῶν* R

**31/32** *Μαξιμῖνος* G [= Eus. im Haupttext] *μαξιμιανὸσ* mv | **32** *ἐπηιωρημένης* G *ἐπαιρωμένησ* v *ἐπαιρομένησ* m

**18** *ἂν* Boll nach G > mv

912 τὸν μόνον θεὸν εὐσεβείας προβεβλημένον; εἰκοστὸν ἔτος οὐδέπω 3
τοῦτο τῆς τοῦ σώματος ἡλικίας ἦν αὐτῷ. πρῶτον μὲν οὖν τῆς
Ἑλλήνων παιδείας ἕνεκα κοσμικῆς (ἐτύγχανε γὰρ καὶ τῶν κατὰ
κόσμον εὖ μάλα πλούτῳ περιρρεομένων) τὸν πλείονα κατὰ τὴν
Βηρυτὸν διατρίψας χρόνον, παράδοξον καὶ εἰπεῖν ὡς ἐν τοιαύτῃ
πόλει τῶν νεωτερικῶν ἐπιθυμιῶν ὑπεράνω γενόμενος καὶ μήθ' ὑπὸ
ἀκμῆς τοῦ σώματος μήθ' ὑπὸ τῆς τῶν νέων ἑταιρίας διαφθαρεὶς
τὸν τρόπον, σωφροσύνην ἠσπάζετο, κοσμίως καὶ σεμνῶς καὶ εὐσεβῶς
κατὰ τὸν αἱροῦντα Χριστιανισμῷ λόγον διεξάγων καὶ τὸν ἑαυτοῦ
παιδαγωγῶν βίον· εἰ δὲ χρὴ μνήμην ποιησαμένους καὶ τῆς πατρίδος 4
913 αὐτοῦ, κοσμῆσαι καὶ ταύτην διὰ τοῦ προαχθέντος ἐξ αὐτῆς γενναίου
τῆς θεοσεβείας ἀθλητοῦ, εὐλόγως δὴ καὶ τοῦτο ποιήσομεν. εἴ τις 5
ἄρα Γάγας ἐπίσταται, τῆς Λυκίας οὐκ ἄσημον πόλιν, ἐντεῦθεν ὁρ-
μώμενος ὁ νεανίας μετὰ τὴν ἐπάνοδον τῆς κατὰ τὴν Βηρυτὸν παι-
δείας, τοῦ πατρὸς αὐτῷ τὰ πρωτεῖα τῆς πατρίδος ἀποφερομένου,

912 θείου ἔρωτος τοῦ μάρτυρος Ἀπφιανοῦ; εἰκοστὸν οὔπω τῆς τοῦ σώματος ἡλι- 3
κίας ἔτος ⟨εἰσεληλυθ⟩ὼς ἦν, τὸ δὲ γένος τῶν ἀπὸ τῆς Λυκίας διαφανῶν καὶ τὰ
πρῶτα φερομένων ἐν πλούτωι καὶ τοῖς ἄλλοις ἀξιώμασιν· δι' ὃ δὴ σπουδῆι τῶν
γονέων ἐπὶ τὰ κατὰ τὴν Βηρυτὸν παιδευτήρια λόγων ἕνεκα ἐστέλλετο καὶ ποι-
κίλων μαθημάτων συνείλεκτο παρασκευήν. ἀλλ' οὔπως ταῦτα ἔχοι ἂν πρὸς τὴν
προκειμένην γραφὴν οἰκείαν τινὰ διήγησιν· εἰ δὲ χρὴ παραδόξου πράξεως τῆς
παναγίας ἐκείνης μνημονεῦσαι ψυχῆς, θαυμάζειν ἄξιον πῶς ἐν τοιαύτηι πόλει
τῆς μὲν τῶν νέων συνουσίας καὶ συνδιατριβῆς κρείττων ἐγίνετο, ἤθει δὲ πρεσβυτι-
κῶι καὶ σεμνοῦ βίου καὶ τρόπου καταστάσει ἑαυτὸν ἐκόσμει, οὐχ ὑπὸ τῆς ἀκμῆς
τοῦ σώματος οὐδ' ὑπὸ τῆς τῶν νέων ἑταιρίας ὑποσυρόμενος, κρηπῖδά ⟨τε⟩ ὥσπερ
ἀγαθῶν τὴν ἐγκράτειαν [τε] αὐτὸς ἑαυτῶι εἰς διάνοιαν καταβαλλόμενος, ἁγνείαν
913 τὴν παντελῆ καὶ σωφροσύνην ἠσπάζετο, σεμνῶς καὶ εὐσεβείαι προσηκόντως αὐτὸς
τὸν ἑαυτοῦ παιδεύων βίον. ἀλλὰ γὰρ μετὰ τὴν αὐτάρκη παίδευσιν ἐπανήιει 5

ATER

**7** προβεβλημένον E προβεβλημένου ATR | **15** αἱροῦντα ⟨καὶ προσή-κοντα⟩ Schw

**2** δὴ Schw ἂν ATER | ποιήσομεν ATE ποιήσωμεν R | **3** ἀραγάγασ TER ἀραπαγὰσ A | **5** αὐτῶ ATR αὐτοῦ E

**19** εἰκοστὸν Gs εἰκότωσ mv | **20** ἔτος εἰσεληλυθὼς ἦν Schw nach s ἠτό-νωσεν mv | **21** φερομένων Schw φαινομένων mv | **23** οὔπως Schw οὔπω mv | ἔχοι ἂν Schw ἔχοιεν mv | **26** ἤθει Boll ἔθει mv | **28** οὐδ' Schw οὔθ' mv | **28/29** τε ergänzt und streicht Schw nach s

**18** εὐσεβείαι s εὐπρέπειαν mv

913 μὴ οἷός τε φέρειν τὴν ἅμα τῷ πατρὶ καὶ τοῖς τῷ γένει προσήκουσιν
συνουσίαν, ὅτι μηδὲ ζῆν ⟨τὸ ζῆν⟩ αὐτοῖς ἐδόκει κατὰ τοὺς τῆς θεο-
σεβείας θεσμούς, πνεύματι δ᾿ ὥσπερ θείῳ κατεσχημένος καὶ κατά
τινα φυσικήν, μᾶλλον δ᾿ ἔνθεον καὶ ἀληθῆ φιλοσοφίαν μεῖζον
φρονήσας τῆς νενομισμένης τοῦ βίου δόξης τῆς τε τῶν σωμάτων
καταπτύσας ἡδυπαθείας, κρύβδην τοὺς οἰκείους ἀποδρὰς καὶ μηδὲν
τῶν ἐφημέρων δαπανῶν ἐπιστραφείς, ἐλπίδι καὶ πίστει τῇ εἰς θεὸν
ἤγετο πρὸς τοῦ θείου πνεύματος χειραγωγούμενος ἐπὶ τὴν Καισα-
ρέων πόλιν, ἔνθα ἡτοίμαστο αὐτῷ ὁ τοῦ μαρτυρίου τῆς θεοσεβείας
στέφανος. γενόμενος δὲ ἡμῖν αὐτοῖς ἅμα καὶ ὡς ἔνι μάλιστα τοῖς 6
θείοις λόγοις ἕξιν τελείαν συλλεξάμενος ἀσκήσεσί τε προσηκούσαις
ἐκθυμότατα παρασκευασάμενος, τέλος οἷον ἐπιδέδεικται, τίς μὲν
914 πάλιν ἰδὼν οὐ κατεπλάγη, τίς δ᾿ αὖθις ἀκοῇ παραλαβὼν οὐκ ἂν 7
ἐνδίκως θαυμάσειεν τὸ θάρσος τὴν παρρησίαν τὴν ἔνστασιν, καὶ
πρό γε τούτων τὴν τόλμαν καὶ αὐτὸ τὸ ἐγχείρημα, ζήλου θεοσε-
βείας καὶ πνεύματος ὡς ἀληθῶς ὑπὲρ ἄνθρωπον παρέχον τὰ τεκ-

913 μὲν ἀπὸ τῆς Βηρυτοῦ ἐπὶ τὴν τοῦ πατρὸς ἑστίαν· ἐπειδὴ δὲ μὴ οἷός τε ⟨ἦν⟩ συν-
εἶναι τοῖς τῶι γένει προσήκουσιν διὰ τὸ τῶν τρόπων ἀνόμοιον, λαθὼν τοὺς
οἰκείους τῆς αὐτόθι διατριβῆς ἀπαλλάττεται, καθόλου μηδὲν τῶν ἐφημέρων
⟨δαπανῶν⟩ φροντίζων. ⟨παρ⟩εγένετο γοῦν γνησίαι καὶ ὁλοκλήρωι τῆι πίστει, θεοῦ
δυνάμει ὁδηγούμενος, ἐπὶ τήνδε τὴν ἡμετέραν πόλιν, ἔνθα αὐτῶι παρεσκεύαστο
ὁ πολυτίμητος τοῦ μαρτυρίου στέφανος. συγγενόμενος δὲ ἡμῖν αὐτοῖς καὶ τοῖς 6
θείοις συγκροτηθεὶς μαθήμασιν λόγοις τε ἱεροῖς ὑπὸ Παμφίλωι τῶι μεγάλωι μάρ-
τυρι συνασκηθείς, ἕξιν εἰς ἀρετὴν οὐ τὴν τυχοῦσαν συνελέξατο· δι᾿ ὅπερ τὴν τοῦ
μαρτυρίου τελείωσιν ἐντεῦθεν παρασκευασάμενος τέλος ὁποῖον ἐπιδέδεικται [δείξει
914 προιὼν ὁ λόγος], τίς μὲν ἰδὼν οὐ κατεπλάγη, τίς δὲ ἀκοῆι παραλαβὼν οὐκ 7
ἐθαύμασεν τὸ θάρσος, τὴν παρρησίαν, τὴν ἔνστασιν, τὴν ἐγκράτειαν, τὰς πρὸς
τὸν δικαστὴν φωνάς, τὰς ἀποκρίσεις, τὴν φρόνησιν καὶ πρό γε τούτων ἀπάντων
τὴν τόλμαν αὐτὴν καὶ τὸ ἐπιχείρημα ζήλου πνέον ἐνθέου καὶ ἐρρωμένης τῆς πρὸς

ATER

**7** τὸ ζῆν ergänzt Schw | **8** κατεσχημένος Savile κατισχημένοσ ATER | **11** μηδὲν Schw vgl. g, μηδὲ ATER | **16** λόγοισ A > TER | ἕ⟨ξιν⟩ τελείαν Schw vgl. g ἐπ᾿ ὀλίγον ATER

**4** παρέχον τὰ Valois παρέχοντα ATE[1]R παρέχον E durch Rasur

**20/21** οἷός τε ἦν συνεῖναι Boll, ebenso s οἷόν τε συνιέναι mv | **21** τῶι γένει Boll nach G τοῦ γένουσ mv | **23** δαπανῶν s vgl. G > mv | παρεγένετο Schw nach s² ἐγένετο mv | **26** συγκροτηθεὶς Schw συγκροτήσασ mv | **28**/914, 1 δείξει—λόγος streicht Schw nach s, vgl. G

914 μήρια; δευτέρας γάρ τοι καθ' ἡμῶν γενομένης ἐπαναστάσεως ὑπὸ 8
Μαξιμίνου τρίτῳ τοῦ καθ' ἡμᾶς ἔτει διωγμοῦ γραμμάτων τε τοῦ τυ- 305/6
ράννου τοῦτο πρῶτον διαπεφοιτηκότων, ὡς ἂν πανδημεὶ πάντες ἅπαξ ἁπλῶς μετ' ἐπιμελείας καὶ σπουδῆς τῶν κατὰ πόλεις ἀρχόντων θύοιεν κηρύκων τε καθ' ὅλης τῆς Καισαρέων πόλεως ἄνδρας ἅμα γυναιξὶν καὶ τέκνοις ἐπὶ τοὺς τῶν εἰδώλων οἴκους ἐξ ἡγεμονικοῦ κελεύσματος ἀναβοωμένων καὶ πρὸς τούτοις ὀνομαστὶ χιλιάρχων ⟨ἀπ'⟩ ἀπογραφῆς ἕκαστον ἀνακαλουμένων ἀφάτῳ τε κλύδωνι κακῶν τῶν πανταχόσε συγκεχυμένων, ἀφόβως ὁ δεδηλωμένος, μηδενὸς ἐπὶ τῷ πραχθησομένῳ συνειδότος αὐτῷ ἡμᾶς τε, οἳ κατ' οἶκον αὐτῷ συνῆμεν, καὶ ἔτι πᾶν τὸ περὶ τὸν ἡγεμόνα στρατιωτικὸν στῖφος ὑποκλέψας, σπένδοντι τῷ Οὐρβανῷ πρόσεισι, καὶ τῆς δεξιᾶς
915 ἀκαταπλήκτως αὐτὸν λαβόμενος, κατέπαυσε μὲν παραχρῆμα τοῦ θύειν, εὖ μάλα δὲ συμβουλευτικῶς μετά τινος θείου παραστήματος παρῄνει παύσασθαι τῆς πλάνης· μὴ γὰρ καλῶς ἔχειν καταλιπόντας

914 τὸν παμβασιλέα θεὸν εὐσεβείας; δευτέρας τοίνυν καθολικῆς ἐπαναστάσεως 8
κατὰ τὸ τρίτον ἔτος τοῦ καθ' ἡμᾶς διωγμοῦ γενομένης, γραμμάτων Μαξιμίνου τότε ⟨πρῶτον⟩ πεφοιτηκότων δι' ὧν ἐκέλευσεν πανδημεὶ πάντας μετ' ἐπιμελείας καὶ σπουδῆς τῶν κατὰ πόλιν ἀρχόντων θύειν τε καὶ σπένδειν τοῖς δαίμοσιν, κήρυκες μὲν αὐτίκα κατὰ πάσας τὰς πόλεις ἄνδρας [τε] ἅμα γυναιξὶν καὶ τέκνοις ἐπὶ τοὺς τῶν εἰδώλων οἴκους ἀπαντᾶν ἐβόων· χιλίαρχοι ⟨δὲ⟩ καὶ ἑκατόνταρχοι κατ' οἴκους καὶ ἄμφοδα παριόντες ἀναγραφὰς τῶν πολιτῶν ἐποιοῦντο, εἶτα ἐξ ὀνόματος ἕκαστον ἀνακαλούμενοι, τὸ προσταχθὲν πράττειν ἐβιάζοντο. ἀφάτωι δὴ οὖν κλύδωνι κακῶν πανταχῆι πάντων ἐπειλημμένων, ὁ πανάγιος τοῦ θεοῦ μάρτυς Ἀπφιανὸς πρᾶγμά τι παντὸς λόγου κρεῖττον διαπράττεται. μηδενὸς ἐπὶ τῶι πραττομένωι συνειδότος αὐτῶι ⟨ἡμᾶς τε ὑποκλέψας, οἳ κατ' οἶκον συνῆμεν αὐτῶι,⟩ ἐπ' αὐτὸν [οὖν] ὁρμᾶι τὸν τοῦ ἔθνους ἄρχοντα, ἔπειτα ἀθρόως ἐπιστὰς
915 καὶ πᾶν τὸ περὶ τὸν ἡγεμόνα στρατιωτικὸν στῖφος λαθὼν ὁμοίως, σπένδοντι τῶι Οὐρβανῶι πρόσεισιν, καὶ τῆς δεξιᾶς χειρὸς λαβόμενος, εἴργει μὲν τῆς εἰδωλολάτρου πράξεως, ἤθει δὲ εὖ μάλα πράωι μετὰ παραστήματος ἐνθέου παύσασθαι παρῄνει τῆς πλάνης· μὴ γὰρ ἐξὸν εἶναι ἀποστραφέντα τὸν ἕνα καὶ μόνον καὶ ἀληθῆ

ATER

12 ἀπ' ἀπογραφῆς Schw ἀπὸ γραφῆσ ATER | 16 σπένδοντι ATs¹ σπεύδοντι ERgs²

23 πρῶτον ergänzt Schw nach s vgl. G | 25 τε streicht Schw | 26 δὲ ergänzen Boll | 31 τῶι πραττομένωι Boll nach G τοῦ πραττομένου mv
31/32 ἡμᾶς—αὐτῶι ergänzt Schw nach s aus G | 32 οὖν streicht Schw
915, 16 σπένδοντι s¹ σπεύδοντι mvs² | 18 ἤθει Boll ἔθει mv

915 τὸν ἕνα καὶ μόνον ἀληθῆ θεὸν εἰδώλοις καὶ δαίμοσι θύειν. τοῦτο 9
δ', ὡς ἔοικεν, ἐνεχειρεῖτο τῷ μειρακίῳ τῆς ἐπὶ τοῦτ' αὐτὸν προ-
αγούσης ἐνθέου δυνάμεως μόνον οὐχὶ διὰ τοῦ γινομένου βοώσης
ὡς ἄρα τοσοῦτον ἀποδέοιεν Χριστιανοί, οἵ γε ὄντως τοιοῦτοι, ἧς
ἅπαξ ἠξιώθησαν εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείας μεταβάλλεσθαι,
ὡς μὴ μόνον ὑπεράνω καθίστασθαι τῶν ἀπειλῶν καὶ τῶν ἐπὶ
ταύταις κολαστηρίων, παρρησιάζεσθαι δ' εἰς ἔτι μᾶλλον εὐγενεῖ τε
καὶ ἀτρόμῳ γλώττῃ ἐλευθεροστομεῖν καί, εἰ οἷόν τε, καὶ τοὺς διώ-
κοντας αὐτούς, μεταθεμένους τῆς ἀγνωσίας τὸν μόνον ὄντα θεὸν
ἐπιγνῶναι, παρακαλεῖν. ἐπὶ τούτοις ὁ περὶ οὗ ὁ λόγος, παραχρῆμα 10
[μὲν] ὅσα εἰκὸς αὐτὸν ὡς ἂν ἐπὶ τοιούτῳ τολμήματι, θηρῶν δίκην
ἀγρίων πρὸς τῶν ἀμφὶ τὸν ἡγεμόνα διασπαραχθεὶς καὶ μυρίας καθ'
916 ὅλου τοῦ σώματος πληγὰς ἀνδρειότατα ὑπομείνας, τέως μὲν [αὐτίκα]
δεσμωτηρίῳ παραδίδοται, ἔνθα νυχθήμερον ἄμφω τὼ πόδε ἐπὶ τοῦ 11
βασανιστικοῦ διαταθεὶς ξύλου, τῇ ἐπιούσῃ προσάγεται τῷ δικαστῇ·

915 θεὸν ἀψύχοις εἰδώλοις καὶ πνεύμασι πονηροῖς θύειν. ἦν δὲ ἄρα ὁ θεὸς αὐτὸς 9
ὁ τῶν ἀσεβῶν τὸν ἔλεγχον διὰ τοῦ μειρακίου ποιούμενος, ἐπὶ τοῦτό τε αὐτὸν
προήγαγεν ἡ τοῦ σωτῆρος ἡμῶν δύναμις, μόνον οὐχὶ διὰ τοῦ πραττομένου βοῶσα
ὅτι τοσοῦτον ἀποδέουσιν οἱ αὐτοῦ στρατιῶται, οἵ γε ὄντως τοιοῦτοι, ταῖς τῶν
ἀθέων γνώμαις ⟨πείθεσθαι⟩, ὡς μὴ μόνον τῶν ἀπειλουμένων καὶ παντὸς θανάτου
καταφρονεῖν, ἀλλὰ καὶ τοσοῦτον ἀποδεῖν τῆς ἐπὶ τὰ χείρω προτροπῆς, ὡς εὐ-
γενεῖ φρονήματι καὶ ἀτρόμωι γλώττηι πρὸς ἅπαντας ἐλευθεροστομεῖν καὶ ἤδη
καὶ αὐτούς, ὅλως εἰ δυνατὸν εἴη, πείθειν βούλεσθαι τοὺς ἐλαύνοντας μεταθέσθαι
μὲν τῆς ἀγνοίας, τὸν δὲ σωτῆρα τῶν ὅλων καὶ μόνον ἀληθινὸν θεὸν ἐπιγινώ-
σκειν. οἱ δὲ δαιμόνων ὑπηρέται πληγέντες ὥσπερ ὑπό τινος καυτῆρος τὰς 10
φρένας, οἱ ἀμφὶ τὸν ἡγεμόνα στρατιῶται, σπαράττουσι παίοντες κατὰ πρόσωπον
916 καὶ χαμαὶ κείμενον τοῖς ποσὶ καταπατοῦντες πιεσμοῖς τε τὸ στόμα καὶ τὰ χείλη
διασπῶντες· ἃ δὴ πάντα ἀνδρειότατα ὑποστάς, τέως μὲν εἰς τὸν τῆς εἱρκτῆς
σκοτεινὸν μυχὸν ἀνελαμβάνετο, νυχθήμερον δὲ ἐνταῦθα παραταθεὶς ἐπὶ τοῦ κο- 11
λαστηρίου ξύλου τοὺς πόδας τῆι ὑστεραίαι παρίσταται τοῖς δικαστηρίοις. ἔνθα

ATER

8 ἅπαξ ἠξιώθησαν A ἀ|πηξιώθησαν T¹ κατηξιώθησαν TcTrER | 14 μὲν streicht Schw

1 αὐτίκα streicht Schw

22 σωτῆρος Mercati σταυροῦ mv | 24 πείθεσθαι ergänzt Schw | 26 καὶ² Schw ὡσ mv | 27 ὅλως Schw ὅλουσ mv

14 στόμα s σῶμα mv | 16 μυχὸν ἀνελαμβάνετο Boll μυχῶνα ἐλαμβάνετο mv

916 εἶτα θύειν ἐκβιαζομένου, πᾶσαν ἐνδείκνυται πρὸς πόνους καὶ φρικτὰς
ἀλγηδόνας καρτερίαν, τὰς πλευρὰς οὐχ ἅπαξ οὐδὲ δεύτερον, ἀλλὰ
καὶ πλεονάκις ἄχρις ὀστέων καὶ αὐτῶν σπλάγχνων καταξανθεὶς
πληγάς τε κατὰ προσώπου καὶ αὐχένος τοσαύτας δεξάμενος, ὡς μηδ᾽
ὑπὸ τῶν εὖ καὶ ἀκριβῶς αὐτὸν πάλαι εἰδότων, διοιδήσαντα τὸ
πρόσωπον, ἔτι γινώσκεσθαι. ἀλλὰ γὰρ μηδὲ πρὸς τὰ τοσαῦτα 12
ἐνδιδόντος, λίνοις ἐλαίῳ δεδευμένοις τὼ πόδε αὐτοῦ καλύψαντες,
πῦρ ὑφῆπτον ἐκ προστάξεως οἱ βασανισταί· ἐφ᾽ οἷς ὁποίας ἤνεγκεν
ὁ μακάριος ἀλγηδόνας, πάντα λόγον ὑπεραίρειν μοι δοκῶ· καθίκετο
γοῦν αὐτοῦ διατῆξαν τὰς σάρκας καὶ τῶν ὀστέων τὸ πῦρ, ὡς κηροῦ
917 δίκην λείβεσθαι καὶ ἀποστάζειν ἐκτηκομένην τὴν ἰκμάδα τοῦ σώμα-
τος. ἀλλὰ γὰρ οὐδὲ πρὸς ταῦτα ἐνδούς, ἡττημένων ἤδη καὶ μόνον 13
οὐκ ἀπειρηκότων πρὸς τὴν ὑπὲρ ἄνθρωπον καρτερίαν αὐτοῦ τῶν

916 ὁ γενναῖος τοῦ ἔθνους ἡγούμενος Οὐρβανὸς ἐπίδειξιν ὥσπερ τινὸς ἀγαθοῦ τῆς
οἰκείας ὠμότητος ποιούμενος, πᾶν εἶδος κολαστηρίων ἐπήγαγεν κατὰ τοῦ μάρ-
τυρος, τὰς πλευρὰς ἄχρις ὀστέων καὶ σπλάγχνων αὐτῶν ⟨καταξαίνειν⟩ παρακε-
λευόμενος [δὲ] πληγάς ⟨τε⟩ κατὰ προσώπου καὶ αὐχένος αὐτῶι τοσαύτας ἐπι-
θεῖναι, ὡς μηκέθ᾽, ὅστις εἴη, τὸ πρόσωπον ἀφανισθέντα, γινώσκεσθαι. ὁ μὲν 12
δῆτα θεοῦ μάρτυς, οἷά τις ἀδάμας, καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ῥωσθεὶς ἔτι
μᾶλλον θείας δυνάμεως ἐμπνεούσης, πολλὰ τοῦ δικαστοῦ πυνθανομένου ⟨οὐδὲν⟩
πλεῖον ἢ Χριστιανὸν ἑαυτὸν ὡμολόγει εἶναι, εἶτα ἐρωτώμενος ὅστις εἴη καὶ πόθεν,
ποῖ τε εἴη μένων, οὐδὲν ἕτερον ἢ Χριστοῦ δοῦλον ἑαυτὸν ὡμολόγει· ὃ δὲ εἰς μανίαν
ἤδη χωρῶν καὶ κινούμενος ἐπὶ τῆι τοῦ μάρτυρος ἀνικήτωι φωνῆι, λίνοις ἐλαίωι
δευθεῖσιν τοὺς πόδας περιπλέξαντας αὐτοῦ πῦρ ὑφάψαι προστάττει. ὡς δὲ οἱ
βασανισταὶ τὸ προσταχθὲν ἐτέλουν, ἀνήρτητο δὲ ὑψηλῶς ὁ μάρτυς, φοβερὸν [δὲ]
θέαμα τοῖς ὁρῶσιν ἦν, οὕτω μὲν τὰς πλευρὰς διερρωγώς, οὕτω δὲ διωγκηκὼς
καὶ τοῦ προσώπου τὴν μορφὴν ἠλλοιωμένος, πολλῶι τε τῶι πυρὶ τοὺς πόδας ἐπὶ
917 μακρὸν καιόμενος χρόνον, ⟨ὡς⟩ διαρρεῖν μὲν τηκομένας κηροῦ δίκην τὰς σάρκας,
τῶν δὲ ὀστέων ⟨καθάπερ ξηρῶν καλάμων⟩ εἴσω δικνεῖσθαι τὸ πῦρ. ἀλλ᾽ οὐ- 13
δὲν τούτων ἔμελεν τῶι πάσχοντι· ἔνδον γὰρ εἶχεν βοηθὸν τὸν ἐν αὐτῶι θεόν,
ἐναργῆ τοῖς πᾶσι τὴν αὐτοῦ βοήθειαν καὶ παρουσίαν ὥσπερ τι φῶς ὁρᾶν παρεχό-
μενον· δι᾽ ὃ δὴ μείζονος θάρσους ὁ μάρτυς ἐνεπίμπλατο καὶ πλείονος παρρησίας

ATER

**9** ἔτι γινώσκεσθαι A ἐπιγινώσκεσθαι TER

**20** *καταξαίνειν* ergänzt Schw nach G | **21** *δὲ* streicht Schw | *τε* ergänzt Schw | **23** *ἔτι* Schw *ἐπὶ* mv | **24** *ἐμπνεούσης* Schw *ἔμπνευσιν* mv | *οὐδὲν* ergänzen Boll | **29** *δὲ* streicht Schw

**11** *ὡς* Boll nach Gs | **12** *καθάπερ — καλάμων* ergänzt Schw aus s

917 ἀντιπάλων, αὖθις δεσμοῖς εἴργνυται, τριταῖός τε αὖ προσαχθεὶς τῷ
δικαστῇ καὶ τὴν αὐτὴν ὁμολογήσας πρόθεσιν, καίτοι γε λοιπὸν
ἡμιθνὴς ὑπάρχων, ὑποβρύχιος θαλάττῃ παραδίδοται. τὰ δ' ἐπὶ 14
τούτοις παραχρῆμα γενόμενα ῥηθέντα μὲν οὐκ ἀπεικὸς παρὰ τοῖς
μὴ ὄψει παρειληφόσιν ἀπιστηθήσεσθαι, ἡμᾶς δ' οὖν, καίπερ τοῦτ'
ἀκριβῶς εἰδότας, οὐχ αἱρεῖ λόγος μὴ οὐχὶ ἐκ παντὸς τἀληθὲς παρα-
δοῦναι τῷ λόγῳ τῆς ἱστορίας, τῷ καὶ μάρτυρας εἶναι τοῦ γεγενη-
918 μένου ἁπλῶς εἰπεῖν ἅπαντας τοὺς τὴν Καισάρειαν οἰκοῦντας· οὐδεμία
γοῦν ἡλικία τῆς παραδόξου ταύτης ἀπελείφθη θέας. αὐτίκα 15
γοῦν ὡς ἐδόκει μάλιστα κατὰ μέσου πελάγους ἐν ἀπείροις βυθοῖς
τὸν ἱερὸν ὄντως ἐκεῖνον καὶ τρὶς μακάριον ἐμβαλεῖν, κλόνος ἀθρόως

917 μεστὸς ἦν. φωνῆι δ' οὖν ἐβόα μεγίστηι καὶ λόγωι τὴν εἰς τὸν μαρτυρούμενον
θεὸν ἀνεκήρυττεν ὁμολογίαν ἐμαρτύρει τε παρούσης αὐτῶι τῆς Ἰησοῦ τοῦ σω-
τῆρος ἡμῶν δυνάμεως καὶ τὰς παραδόξους ταύτας θέας ὡς ἐν μεγίστωι ⟨θεάτρωι⟩
δεικνυμένης. οἱ μὲν γὰρ ἐλίττων οἷα δαίμονες, καὶ τὰς ψυχὰς ὀδυνώμενοι,
ὡς ἂν αὐτοὶ τὰ δεινὰ πάσχοντες, ⟨πρίοντες⟩ τοὺς ὀδόντας καὶ τοὺς λογισμοὺς
καόμενοι, λέγειν ἐξεβιάζοντο ὅστις εἴη καὶ πόθεν καὶ ποῖ εἴη μένων, θύειν τε
καὶ τοῖς ὡρισμένοις πειθαρχεῖν· ὁ δὲ εἰς πάντας ἀποβλέπων οἷα μεθύοντας
ἑώρα, ἀλλ' οὐδὲ ἀποκρίσεως αὐτοὺς καταξιῶν, πρὸς τὰς πεύσεις μιᾶι μόνηι
ἐκέχρητο φωνῆι τὸν Χριστὸν ὁμολογούσηι καὶ τὸν τούτου πατέρα [καὶ τὸ ἅγιον
πνεῦμα] μόνον εἰδέναι μαρτυρούσηι θεόν. ἤδη γοῦν ἡττημένων καὶ ἀπειρη-
κότων τῶν πολεμίων, αὖθις ἐπὶ τὴν εἱρκτὴν ἀνελαμβάνετο, τῆι δὲ ἐπιούσηι ἡμέραι
τῶι δικαστῆι προσαχθεὶς καὶ τὴν αὐτὴν μαρτυρήσας ὁμολογίαν, βυθοῖς θαλάσσης
παραδοθῆναι κελεύεται. τὰ δὲ ἐπὶ τούτοις πραχθέντα εὖ οἶδα ἀπιστηθήσεσθαι 14
παρὰ τοῖς μὴ ὄψει τὸ ἔργον παρειληφόσιν, ὦτα γὰρ ἀνθρώποις ἀπιστότερα
πέφυκεν εἶναι ὀφθαλμῶν· ὅμως δὲ οὐ παρὰ τοῦτο δίκαιον ἡμᾶς λήθηι παρα-
δοῦναι τὸ θαῦμα, οἵ τε μάρτυρες ἡμῖν τῆς ἱστορίας πάντες, ὡς ἔπος εἰπεῖν, οἱ
918 τὴν Καισαρέων πόλιν οἰκοῦντες γεγόνασιν· οὐδεμία γοῦν ἡλικία τῆς παραδόξου
ταύτης ἀπελείφθη θέας. ὡς γὰρ κατὰ τὸν τοῦ πελάγους βυθὸν ἔρριπτον τὸν 15
τοῦ θεοῦ ἄνθρωπον, λίθοις τοὺς πόδας καταδήσαντες, κλόνος οὐχ ὁ τυχὼν σεισμός
τε παραχρῆμα καὶ βρασμὸς αὐτήν τε τὴν θάλατταν καὶ τὸ περιέχον ἅπαν διέχει

ATER

**10** τῆς ἱστορίας Schw τὴν ἱστορίαν ATER

**17** ἐμαρτύρει τε Schw ἐμαρτυρεῖτο m ἐμαρτυρείτω v | **18** θεάτρωι ergänzen Boll nach s | **19** δεικνυμένης Schw δεικνυμένου mv | **20** πρίοντες ergänzt Schw nach s | **21** καόμενοι s κλώμενοι mv | **23** οὐδὲ Boll nach $s^2$ οὔτε mv | τὰς πεύσεις Schw τῇ πεύσει mv | **24/25** καὶ τὸ ἅγιον πνεῦμα streichen Boll nach s

**21** διέχει Schw διήχει mv

918 οὐχ ὁ τυχὼν καὶ βρασμὸς αὐτήν τε τὴν θάλατταν καὶ τὸ περιέχον
ἅπαν διαχεῖ, ὡς καὶ τὴν γῆν καὶ τὴν πόλιν ἅπασαν πρὸς τοῦ γενο-
μένου σεισθῆναι, ἅμα δὲ τῷ παραδόξῳ τούτῳ καὶ ἀθρόῳ σεισμῷ
τοῦ θείου μάρτυρος τὸν νεκρὸν ἡ θάλαττα, ὥσπερ μὴ οἵα τε οὖσα
φέρειν αὐτόν, πρὸ τῶν τῆς πόλεως ἐκβράσσει πυλῶν. καὶ τοιαῦτα
μὲν ἦν τὰ κατὰ τὸν θεσπέσιον Ἀπφιανόν, Ξανθικοῦ μηνὸς δευτέρᾳ,
ἥτις ἂν εἴη πρὸ τεσσάρων Νωνῶν Ἀπριλλίων, ἡμέρᾳ παρασκευῆς
τελειωθέντα·

ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν αὐταῖς τε ἡμέραις ἐπὶ τῆς Τυρίων 306
πόλεως νεανίας, Οὐλπιανὸς ὄνομα, μετὰ δεινὰς καὶ αὐτὸς αἰκίας
μάστιγάς τε χαλεπωτάτας ἅμα κυνὶ καὶ ἀσπίδι, τῷ ἰοβόλῳ ἑρπετῷ, 5 1
ὠμοβοΐνῃ περιβληθεὶς δορᾷ, θαλάττῃ παραδίδοται· δι' ὃ μοι δοκεῖ
ἐν τοῖς Ἀπφιανοῦ μαρτυρίοις εὐλόγως ἂν ἡμῖν μνημονεύεσθαι καὶ
919 οὗτος. ἀδελφὰ δὲ τῷ Ἀπφιανῷ σμικρὸν τῷ χρόνῳ ὕστερον ὑπο- 2
μείνας ὁ μὴ μόνον αὐτοῦ κατὰ θεόν, καὶ σώματι δὲ ὁμοπάτριος
ἀδελφὸς Αἰδέσιος, μετὰ μυρίας ὅσας ὁμολογίας καὶ πολυχρονίους
δεσμῶν κακώσεις ἡγεμονικάς τε ἀποφάσεις, ἐν αἷς τοῖς κατὰ Παλαι-

918 κίνησίς τε μεγίστη τὴν πόλιν ἅπασαν ἐκίνει· ἅμα δὲ τῶι παραδόξωι τοῦ θείου
μάρτυρος τὸ νεκρὸν σῶμα, ὡς οὐ φέρειν αὐτὸ δυναμένη, πρὸ τῶν τῆς πόλεως
ἐκβράττει πυλῶν ἡ θάλαττα. προύκειτο δὴ θέαμα πονηρὸν πρὸς αὐτοῖς τοῖς
προπύλοις τῆς πόλεως ὁ νεκρός, καὶ πολὺς ἦν διαχῶν τὸ πᾶν ἐπηιωρημένος ἐκ θεοῦ
σεισμός, δεινὴν τοῖς πᾶσιν ἀπειλῶν ὀργήν. ὡς δὲ ἀπηγγέλη τὸ γεγονὸς τοῖς τὴν
πόλιν οἰκοῦσιν, δρομάδην ὁμοῦ πάντες πρὸ τῶν πυλῶν ἐπὶ τὴν ἱστορίαν ἐχώρουν,
παῖδες, ἄνδρες, πρεσβῦται θηλειῶν τε ὁμοίως πᾶσα ἡλικία μέχρι καὶ τῶν ἀφανῶν
καὶ τῶν θαλαμευομένων εἰς ἔτι τε παρθενευομένων, πάντες τε καὶ πᾶσαι τὸν
ἕνα καὶ μόνον θεὸν τῶν Χριστιανῶν ὡμολόγουν. τοιούτου μὲν δὴ τέλους τὸ
κατὰ τὸν θαυμάσιον Ἀπφιανὸν ἔτυχε δρᾶμα· Ξανθικοῦ μηνὸς ⟨δευτέραι⟩ πρὸ δ'
Νωνῶν Ἀπριλλίων ἡ τοῦδε μνήμη τελεῖται·

919 ἀδελφὰ δ' αὐτῶι μικρὸν τῶι χρόνωι ὕστερον ⟨ὁ⟩ ὁμοπάτριος ἀδελφὸς ἔπασχεν 5 2
τοὔνομα Αἰδέσιος. οὗτος μὲν δὴ καὶ πρὸ τῆς τοῦ ἀδελφοῦ κατὰ θεὸν ὁρμῆς
φθάνει φιλοσοφίαι ἑαυτὸν ἐπιδιδούς· καὶ γὰρ λόγων μετεῖχεν παντοίων καὶ παι-

ATER

**11** der 2. April 306 war ein Dienstag, die Angabe des Wochentags fehlt in g | **13** δὲ Schw δὴ ATER

**25** διαχῶν Schw ἠχῶν mv | **29** τε[1] v τε καὶ m | **31** δευτέραι ergänzen Boll

**16** τῶι χρόνωι G τοῦ χρόνου mv | ὁ ergänzt Schw | ὁμοπάτριοσ mvG ὁμοπάτριοσ καὶ ὁμομήτριοσ s

919 στίνην δέδοται μετάλλοις, καὶ μετὰ τὴν ἐν πᾶσι τούτοις φιλόσοφον ἐν τρίβωνος σχήματι ἀγωγήν (καὶ γὰρ οὖν αὐτὸς πλέον τῆς τοῦ ἀδελφοῦ παιδείας κεκτημένος, καὶ ἀπὸ μαθημάτων φιλοσόφων ὡρμᾶτο), τελευτῶν δῆτα ἐπὶ τῆς Ἀλεξανδρέων πόλεως, τὸν αὐτόθι 3
συνιδὼν δικαστὴν Χριστιανοῖς δικάζοντα πέρα τε τῶν προσηκόντων ἐμπαροινοῦντα καὶ τοτὲ μὲν σεμνοῖς ἀνδράσι ποικίλως ἐνυβρίζοντα, τοτὲ δὲ γυναῖκας σωφροσύνης τῆς ἀνωτάτω καὶ αὐτοπαρθένους ἀσκητρίας εἰς αἰσχρὰς ὕβρεις πορνοτρόφοις παραδόντα, ταὐτὸν ἐγχειρήσας τῷ ἀδελφῷ, ὅτι δὴ ἀφόρητα εἶναι αὐτῷ τὰ γινόμενα ἐδόκει, παραστήματι θαρσαλέῳ πρόσεισιν, λόγοις τε καὶ ἔργοις τὸν δικαστὴν αἰσχύνῃ καὶ ἀτιμίᾳ περιβαλὼν κἀπὶ τούτοις καρτερῶς εὖ
920 μάλα βασάνων πολυτρόπους ὑπομείνας αἰκίας, τὴν ἀδελφικὴν ἀπηνέγκατο θαλάττῃ παραδοθεὶς τελευτήν. ἀλλὰ τὰ μὲν κατὰ τοῦτον, ὡς δοῦν ἔφην, σμικρὸν τοῦ χρόνου ὕστερον τοῦτον ἐγενήθη τὸν τρόπον·

919 δείας οὐ τῆς Ἑλλήνων μόνον, ἀλλὰ δὴ καὶ τῆς Ῥωμαίων ἧπτο, τῆς τε Παμφίλου διατριβῆς πλείονι χρόνωι μετέσχηκεν. καὶ δὴ οὗτος μετὰ πλείστας ὁμολογίας πολυχρονίους τε δεσμωτηρίων κακώσεις πρῶτα μὲν τοῖς κατὰ Παλαιστίνην παραδίδοται χαλκοῦ μετάλλοις· εἶτα μετὰ τὴν ἐν τούτοις κακοπάθειαν γίνεται ἐπὶ τῆς 3
Ἀλεξανδρέων πόλεως, Ἱεροκλεῖ δὲ παρατυχών, ὃς τὴν Αἴγυπτον ἐξουσίαι τῆι ἑαυτοῦ πᾶσαν διεῖπεν, Χριστιανοῖς δικάζοντι, ὡς συνεῖδεν πέρα τῶν προσηκόντων θεσμῶν ἐμπαροινοῦντα τοῖς τοῦ θεοῦ μάρτυσιν παρθένους τε ἁγίας θεοῦ πορνοτρόφοις ἐπ' ἀσελγείαι καὶ ὕβρει τοῦ σώματος παραδιδόντα, οὐχ ὑπομείνας τὴν τῶν πραττομένων θέαν, τῆι ὁμοίαι τῶι ἀδελφῶι ἐπιβάλλεται πράξει. ζήλου ⟨δ' οὖν⟩ πληρωθεὶς ἐνθέου πρόεισιν καὶ λόγωι καὶ ἔργωι τὸν Ἱεροκλέα καταισχύνει, αὐτοχειρίαι πληγὰς ἐντείνας αὐτῶι κατὰ τοῦ προσώπου χαμαί τε βαλὼν ὕπτιον ἐπὶ τῆς γῆς τύπτων τε ἅμα καὶ παραινῶν μὴ παρὰ φύσιν τολμᾶν κατὰ τῶν τοῦ θεοῦ δούλων, πολλά τε καὶ ἄλλα εἰπὼν καὶ ἐπὶ τούτοις εὖ μάλα καρτερῶς ὑπο-
920 μείνας τὰς κατὰ τοῦ σώματος ἐπιτεθείσας αὐτῶι βασάνους, τὴν ἀδελφικὴν ἀπ-
26 ηνέγκατο θαλάττηι παραδοθεὶς τελευτήν. ἀλλ' οὗτος ἐπὶ τῆς Ἀλεξανδρείας μικρὸν τῶι χρόνωι ὕστερον τοῦτον διηγωνίσατο τὸν ἆθλον· τῶν δὲ ἐπὶ Παλαιστίνης μαρτύρων μετὰ Ἀπφιανὸν Ἀγάπιος ἐπὶ τὸν ἀγῶνα παρῄει.

ATER

**11** αὐτοπαρθένου Schw αὐτοπαρθένουσ ATER | **12** παραδόντα AT¹E παραδιδόντα TrRg

**19** τῆς Ῥωμαίων Schw τῶν ῥωμαίων mv | **24** χριστιανοῖς Boll nach sG χρόνοισ mv | συνεῖδεν Schw nach G οὖν εἶδεν mv | πέρα Schw nach G παρὰ mv | **26** ἐπ' Schw ἐν mv | **28** δ' οὖν ergänzt Schw

**27/28** Παλαιστίνης Schw παλαιστίνην mv

920 τετάρτῳ γε μὴν τοῦ καθ' ἡμῶν ἔτει διωγμοῦ, πρὸ δώδεκα 6 1 306/7
Καλανδῶν Δεκεμβρίων, ἣ γένοιτ' ἂν μηνὸς Δίου εἰκάδι, προσαββάτου 306
ἡμέρᾳ, κατὰ τὴν αὐτὴν Καισάρειαν, γραφῆς ὡς ἀληθῶς ἄξιον, αὐτοῦ
δὴ τοῦ τυράννου Μαξιμίνου παρόντος καὶ θέας τοῖς πλήθεσι φιλοτι-
μουμένου κατὰ τὴν λεγομένην αὐτοῦ γενέθλιον ἡμέραν, ἀπετελέσθη
τοιοῦτον. ἔθους τὸ πρὶν ὄντος ἐπὶ βασιλέων, εἰ καὶ ἄλλοτε, τὰς 2
φιλοτίμους θέας πλείους τοῖς θεαταῖς ἐμπαρέχειν θυμηδίας καινῶν
καὶ ξένων τά τε συνήθη παραλλαττόντων θεαμάτων, ζῴων ἔσθ'
ὅπῃ τῶν ἐξ Ἰνδίας ἢ Αἰθιοπίας ἢ καὶ ἄλλοθεν εἰσκομιζομένων ἢ
καὶ ἀνδρῶν ἐντέχνοις τισὶ σωμασκίαις παραδόξους ψυχαγωγίας τοῖς
ὁρῶσιν ἐνδεικνυμένων, πάντως που καὶ τότε, οἷα βασιλέως τὰς θέας
παρέχοντος, πλεῖόν τι καὶ παράδοξον χρῆν ὑπάρξαι ταῖς φιλοτι-
μίαις. τί τοίνυν τοῦτο ἦν; μάρτυς τοῦ καθ' ἡμᾶς δόγματος παρ- 3
ήγετο εἰς μέσον, τῆς μόνης καὶ ἀληθοῦς εὐσεβείας ὑπεραγωνιζόμενος·
Ἀγάπιος οὗτος ἦν, ὁ δεύτερος ἅμα τῇ Θέκλᾳ θηρσὶν ἐπὶ βορᾷ δίδο-
σθαι μικρῷ πρότερον δεδηλωμένος· ὃς δὴ καὶ ἄλλοτε τοῦ δεσμωτηρίου
τρίτον καὶ πολλάκις ἅμα κακούργοις ἐμπομπεύσας τῷ σταδίῳ, ἀεί
γε μὴν κατὰ χρόνους τοῦ δικαστοῦ μετὰ τὰς ἀπειλὰς ἤτοι κατ'
οἶκτον ἢ κατ' ἐλπίδα τοῦ μεταθήσεσθαι τῆς προθέσεως εἰς ἑτέρους
αὐτὸν ἀγῶνας ὑπερτιθεμένου, τότε δὴ βασιλέως ἐπιπαρόντος ἤγετο,
921 ὥσπερ ἐπίτηδες εἰς ἐκεῖνο τοῦ καιροῦ πεφυλαγμένος, ὡς ἂν κἀκεῖνο
τὸ σωτήριον ῥῆμα, ὃ τοῖς μαθηταῖς θείᾳ γνώσει προηγόρευεν, ὡς
ἄρα καὶ ἐπὶ βασιλέων ἀχθήσονται ἕνεκεν τῆς εἰς αὐτὸν μαρτυρίας,
καὶ ἐπ' αὐτοῦ πληρωθείη. φέρεται δὴ εἰς μέσον τὸ στάδιον σὺν 4
καί τινι κακούργῳ, φόνῳ δὲ τοῦ δεσπότου τοῦτον ἐνέχεσθαι ἔλεγον.
εἶθ' ὁ μὲν τοῦ δεσπότου φονεὺς τοῖς θηρσὶν παραβληθείς, ἐλέου 5
καί φιλανθρωπίας ἠξίωτο μόνον οὐχὶ κατ' αὐτὸν ἐκεῖνον τὸν ἐπὶ
τοῦ σωτῆρος Βαραββᾶν, βοαῖς δ' ἐπὶ τούτῳ καὶ εὐφημίαις τὸ πᾶν
ἐξηχεῖτο θέατρον, ὡς ἂν τοῦ μιαιφόνου φιλανθρώπως πρὸς τοῦ
βασιλέως σεσωσμένου τιμῆς τε καὶ ἐλευθερίας ἠξιωμένου· ὁ δὲ τῆς 6
θεοσεβείας ἀθλητὴς ἀνακαλεῖται μὲν πρότερον ὑπὸ τοῦ τυράννου,

**20** 910, 10
**2/3** Matth. 10, 18

ATER

**6** der Wochentag, auch von s überliefert, ist falsch, der 20. November 306 fiel auf einen Mittwoch | **12** *παραλλαττόντων* Schw *παραλλάττων τῶν* T¹ER¹ *παραλλαττόντων τῶν* A *παραλλάττειν τῶν* TrRc | **19/20** *δίδοσθαι* TER *δεδόσθαι* A | **21** *τρίτον* unverständlich, *προιὼν* Schw
**1** *ὡσ* ER *ὥστ'* AT

921 εἶτα ἄρνησιν τῆς προθέσεως αἰτηθεὶς ἐπ᾽ ἐλευθερίας ἐπαγγελίᾳ,
μεγάλῃ φωνῇ διαμαρτύρεται, μὴ φαύλης μὲν ἕνεκεν αἰτίας, εὐσεβείας
δὲ τοῦ τῶν ὅλων δημιουργοῦ προθύμως καὶ μεθ᾽ ἡδονῆς, ὅσα δᾶν
ἐπάγοιτο αὐτῷ, γενναίως ὑποστήσεσθαι. καὶ τοῦτ᾽ εἰπών, ἅμα λόγῳ
τοὔργον ἐπάγει, δρομαῖος ἄντικρυς ἀπολυθείσῃ κατ᾽ αὐτοῦ ἄρκτῳ 7
ὑπαντιάσας ταύτῃ τε ἑαυτὸν ἀσμενέστατα ἐπιδεδωκὼς εἰς βοράν·
μεθ᾽ ἣν ἔμπνους εἰς τὸ δεσμωτήριον αἴρεται, μίαν τε ἐνταῦθα ἐπι-
βιώσας ἡμέραν, τῇ ἑξῆς λίθων αὐτοῦ προσαρτηθέντων τοῖς ποσὶ
μέσῳ πελάγει καταποντοῦται. τοιοῦτο καὶ τὸ Ἀγαπίου μαρτύριον.

Ἤδη δὲ καὶ εἰς πέμπτον ἔτος τοῦ διωγμοῦ παραταθέντος, μηνὸς
δευτέρᾳ Ξανθικοῦ, ἥτις ἐστὶ πρὸ τεσσάρων Νωνῶν Ἀπριλλίων, ἐν 7 1 307/8
922 αὐτῇ κυριακῇ ἡμέρᾳ τῆς τοῦ σωτῆρος ἡμῶν ἀναστάσεως, αὖθις ἐπὶ 307
τῆς Καισαρείας Θεοδοσία, τῶν ἀπὸ Τύρου παρθένος, πιστὸν καὶ
σεμνότατον κόριον οὐδ᾽ ὅλων ἐτῶν ὀκτωκαίδεκα, δεσμίοις τισὶ καὶ
αὐτοῖς τὴν Χριστοῦ βασιλείαν ὁμολογοῦσιν πρό τε τοῦ δικαστηρίου
καθεζομένοις πρόσεισιν, ὁμοῦ φιλοφρονουμένη καὶ οἷα εἰκός, ὑπὲρ
τοῦ μνημονεύειν αὐτῆς πρὸς τὸν κύριον γενομένους παρακα-
λοῦσα. τοῦτο δὲ πράξασαν, ὥσπερ ἀνόσιόν τι καὶ ἀσεβὲς εἰργασ- 2

921 **21**—S. 923, 5 g Anal. Boll. 16, 127 ff. nach b = Monac. 366 [vgl. Violet,
TU 14, 53] und v = Vat. 1660. Überschrift *Μηνὶ τῶι αὐτῶι γ´* [*κθ´* b, vgl. Asse-
mani, act. mart. 2, 202]. *Μαρτύριον Θεοδοσίας παρθένου πέμπτωι ἔτει τοῦ καθ᾽
ἡμᾶς διωγμοῦ πρὸ τεσσάρων* [*γ´* v] *Νωνῶν Ἀπριλλίων ἐν Καισαρείαι τῆς Πα-
λαιστίνης.*

*Ἐπὶ πέμπτον μὲν ἔτος ἤδη ὁ καθ᾽ ἡμῶν διωγμὸς παρετείνετο, μὴν δὲ ἦν* 7 1
*Ξανθικός, ἡμέρα τούτου β´, ἡ δ᾽ αὐτὴ ἂν εἴη πρὸ δ´ Νωνῶν Ἀπριλλίων· καί τις*
922 *ἱερὰ καὶ παναγία κόρη τῶν ἀπὸ Τύρου τῶι τοῦ θεοῦ παιδὶ παρθενευομένη, οὐδὲ
ὅλων ἐτῶν ὀκτωκαίδεκα, δεσμίοις ὁμολογηταῖς θεοῦ τῶν ἡγεμονικῶν δικαστη-
ρίων προκαθημένοις μέλλουσίν τε αὐτίκα μάλα παρίστασθαι τῶι δικαστῆι πρόσ-
εισιν φιλοφρονουμένη, μεμνῆσθαί τε αὐτῆς παρακαλεῖ τοῦ σκοποῦ τυχόντας. ἐπεὶ* 2
*δὲ τοῦτο ἔπραξεν, ὥσπερ ἔκθεσμόν τι καὶ ἀνόσιον διαπραξαμένην συναρπάζουσι
στρατιῶται παραχρῆμά τε τῶι Οὐρβανῶι προσάγουσιν· τότε γὰρ ἔτι τὴν Παλαι-*

ATER

**18** *δεσμωτήριον* $AT^r$ *δικαστήριον* $T^1ER$ | **22** Ostersonntag 307 = 6. Xanthikos, g hat nur Datum und Sonntag

**3** *κόριον* A > $T^1$ *γύναιον* $T^rER$

**28** *ἡμῶν* b *ἡμᾶσ ὧν* v *ἡμᾶσ* s | **29** *τούτου* v *τε τούτου* b | *β* v *τετάρτη* b

**11** *παρθενευομένη* vb *παρθενευομένων* s | **13** *προκαθημένοισ* v *προκαθεζομένοισ* b | **16** *τότε γὰρ ἔτι* vs *ὧδε γὰρ ἔτι τότε* b

922 *μένην ἀφαρπάσαντες στρατιῶται ἄγουσιν ἐπὶ τὸν ἡγεμόνα, αὐτίκα δ' οὗτος, ἅτε τις ἐμμανὴς καὶ τὸν θυμὸν θηριωδέστατος, δειναῖς καὶ φρικτοτάταις βασάνοις κατὰ πλευρῶν καὶ μαζῶν μέχρι καὶ αὐ-*
923 *τῶν ὀστέων αἰκισάμενος, ἔμπνουν ἔτ' αὐτήν, ὅμως δ' οὖν πρὸς ἅπαντα γεγηθότι καὶ φαιδρῷ ἱσταμένην προσώπῳ, τοῖς θαλαττίοις κύμασιν ἐμβληθῆναι προστάττει. εἶτ' ἐξ αὐτῆς ἐπὶ τοὺς λοιποὺς μεταβὰς ὁμολογητάς, τοῖς κατὰ Φαινὼ τῆς Παλαιστίνης χαλκοῦ μετάλλοις τοὺς πάντας παραδίδωσιν. ἐπὶ τούτοις, Δίου μηνὸς* **3** 307
*πέμπτῃ, κατὰ δὲ Ῥωμαίους Νώναις Νοεμβρίαις, ἐπὶ τῆς αὐτῆς πόλεως τοὺς ἀμφὶ Σιλβανὸν ἔτι δὴ τότε ὄντα πρεσβύτερον ὁμολογήσαντα, ὃν οὐκ εἰς μακρὸν ὕστερον ἐπισκοπῇ τιμηθῆναί τε καὶ μαρτυρίῳ συνέβη τελειωθῆναι, γενναιοτάτην ἔνστασιν τὴν ὑπὲρ εὐσεβείας ἐπιδειξαμένους τοῖς εἰς τὸ αὐτὸ χαλκοῦ μέταλλον πόνοις ὁ αὐτὸς ἐγκρίνει, καυτῆρσιν πρότερον τῶν ποδῶν τὰς ἀγκύλας αὐ-*

922 *στινῶν διεῖπεν ἀρχήν. ἀλλ' οὗτος οὐκ οἶδ' ὅ τι παθών, ὥσπερ τὰ μέγιστα πρὸς τῆς κόρης ἠδικημένος, παραχρῆμα θυμοῦ καὶ λύττης ἐμπίμπλαται, θύειν τε αὐτῆι προστάξας, ἐπειδὴ ἀνανεύουσαν ηὕρισκεν, ταύτηι μᾶλλον ὁ θηριωδέστατος δεινὰς κατὰ τῶν πλευρῶν καὶ κατὰ τῶν μαζῶν ἐπιτίθησιν αὐτῆι βασάνους, ὀστέων τε αὐτῶν εἴσω δὴ καὶ σπλάγχνων ὁ ἀνηλεὴς ἐχώρει, ἐπιμόνως τὴν παῖδα τιμωρούμενος σιγῆι τὰς βασάνους δεχομένην. ἔτι δ' ἐμπνέουσαν ἠρώτα θύειν παρακελευόμενος· ἡ δὲ διάρασα τὸ στόμα καὶ τοῖς ὀφθαλμοῖς ὀξὺ καὶ ἀτενὲς ἐμβλέψασα, ὑπομειδιῶντι προσώπωι (ἐπήνθει δὲ αὐτῆι καὶ τὸ τῆς ἀκμῆς κάλλος) »τί δὴ πλανᾶι«, φησίν, »ἄνθρωπε, οὐκ εἰδώς με κατ' εὐχὰς πράττειν νῦν ὅτε τῶν τοῦ θεοῦ μαρτύρων κοινωνίας τυχεῖν ἠξιώθην;« ὁ δὲ ἐπειδὴ συνεῖδεν ἑαυτὸν γέλωτα τῆς κόρης γενόμενον, οὐκέθ' οἷός τε ὢν καὶ μείζοσιν αὐτὴν ἢ πρότερον βασάνοις αἰκίζεσθαι, τοῖς θαλαττίοις κατακρίνει βυθοῖς. μεταστὰς δὲ ἀπὸ ταύτης ἐπὶ τοὺς λοιποὺς ἤιει ὁμολογητάς, ὧν αἰτίαι τῆι κόρηι πέπρακται τὰ δεδηλωμένα, ὁμοῦ δὲ πάντας τοῖς κατὰ Παλαιστίνην χαλκοῦ μετάλλοις παραδίδωσιν, οὐδὲν*
923 *εἰπὼν οὐδ' ἀνάγκην ἐπιθείς· ἡ γὰρ πρόμαχος ἁπάντων τοὺς αὐτῶν ἀναδεξαμένη*
26 *πόνους καὶ τὸν ὠμὸν δικαστὴν εὐτονίαι καὶ ῥώμηι ψυχῆς παραλύσασα, δειλὸν καὶ εἰς τοὺς μετὰ ταῦτα κατεστήσατο. ἡμέρα κυριακὴ ἦν, καθ' ἣν ταῦτα ἐπὶ τῆς Καισαρείας ἐν μηνὶ τῶι εἰρημένωι καὶ κατὰ τὸ δηλωθὲν ἔτος ἐπράχθη.*

ATER

**6** 1. November s

**18** *λύττησ* bs *λύπησ* v | *τε* v *δ'* b | **19** *ταύτῃ* b *ταύτην* v | **21** *εἴσω—σπλάγχνων* v *ἤδη καὶ τῶν ἔσω σπλάγχνων* b | **24** *δὲ* bs *γὰρ* v | **27** *γενόμενον*] b bricht ab | *οὐκέθ' οἷός τε* Schw nach s *οὐκ εὔθυνός τε* v | **30** *τοῖς* Schw *τοῦ* v

923 τοῖς ἀχρειωθῆναι προστάξας· ἅμα δὲ τῇ κατὰ τούτων ἀποφάσει 4
ἄνδρα μυρίαις ἄλλαις ὁμολογίαις διαπρέψαντα, Δομνῖνος ἦν οὗτος,
ὁ διὰ περιττὴν ἐλευθερίαν τοῖς κατὰ Παλαιστίνην ἅπασι γνωριμώ-
τατος, τῇ διὰ πυρὸς ἐκδίδωσιν κολάσει· μεθ᾽ ὃν ὁ αὐτὸς δικαστής,
δεινὸς ἐπινοητής τις ὢν κακίας καὶ τῶν κατὰ τῆς τοῦ Χριστοῦ
διδασκαλίας ἐπιχειρημάτων καινουργός, τὰς μηδ᾽ ἀκουσθείσας πώποτε
κατὰ τῶν θεοσεβῶν ἐπενόει τιμωρίας, καὶ τρεῖς μὲν εἰς μονομαχίαν
ἐπὶ πυγμῇ καταδικάζει, Αὐξέντιον δέ, σεμνὸν καὶ ἱερὸν πρεσβύτην,
θηρίοις βορὰν παραδίδωσιν, ἄλλους δ᾽ αὖ πάλιν, τελείων ἀνδρῶν
φέροντας ἡλικίαν, εἰς εὐνούχους ἐκτεμὼν τοῖς αὐτοῖς κατακρίνει
μετάλλοις, ἑτέρους δ᾽ αὖ πάλιν μετὰ χαλεπὰς βασάνους δεσμωτηρίῳ
καθείργνυσιν· ἐν οἷς καὶ ὁ πάντων ἐμοὶ γοῦν ποθεινότατος ἑταίρων
Πάμφιλος ἦν, τῶν καθ᾽ ἡμᾶς μαρτύρων ἀνὴρ πάσης ἕνεκεν ἀρετῆς
924 ἐπιδοξότατος. τούτου τῆς ἐν ῥητορικοῖς λόγοις φιλοσόφοις τε 5
μαθήμασιν ἀπόπειραν πρότερον ὁ Οὐρβανὸς λαβών, εἶθ᾽ ὕστερον
θύειν καταναγκάσας, ὡς ἀνανεύοντα καὶ μηδ᾽ ὅλως ἐν λόγῳ τὰς
ἀπειλὰς ἑώρα τιθέμενον, τὸ πανύστατον ἀγριάνας, σφοδροτέραις
αὐτὸν αἰκίζεσθαι προστάττει βασάνοις· καὶ δὴ ταῖς κατὰ τῶν πλευ- 6
ρῶν αὐτοῦ δι᾽ ἐπιμόνων καὶ φιλονείκων ξυστήρων ὁ θηριωδέστατος
μόνον οὐχὶ ἐμφορηθείς, αἰσχύνην γε μὴν ἐπὶ ⟨ἑαυτοῦ ἐπὶ⟩ πᾶσιν
καταχεάμενος, τοῖς ἐν τῷ δεσμωτηρίῳ καὶ αὐτὸν ὁμολογηταῖς κατα-
λέγει. ἐπὶ δὲ τῇ κατὰ τῶν ἁγίων ὠμότητι ὁποίας ἀμοιβῆς παρὰ 7
τῇ θείᾳ δίκῃ τεύξεται, τοσαῦτα κατὰ τῶν Χριστοῦ μαρτύρων ἐμ-
παροινήσας, διαγνῶναι ῥᾴδιον ἐκ τῶν τῇδε προοιμίων, δι᾽ ὧν εὐθὺς
καὶ οὐκ εἰς μακρὸν τοῖς κατὰ τοῦ Παμφίλου τετολμημένοις αὐ-
τὸν ἔτι τῆς ἡγεμονίας ἐχόμενον ἡ θεία μετῆλθεν δίκη, ἀθρόως
οὕτως τὸν χθὲς ἄνω που ἐφ᾽ ὑψηλοῦ βήματος δικάζοντα καὶ πρὸς
τοῦ στρατιωτικοῦ δορυφορούμενον στίφους ὅλου τε τοῦ Παλαιστινῶν
ἔθνους ἐπάρχοντα ὁμοδίαιτόν τε οἷα φιλαίτατον καὶ ὁμοτράπεζον
αὐτῷ τῷ τυράννῳ καθεστῶτα διὰ μιᾶς γυμνώσασα νυκτὸς καὶ τῶν
τοσούτων ἀξιωμάτων ἔρημον καταστήσασα ἀτιμίαν τε καὶ αἰσχύνην

ATER

**12** προστάξασ TER προστάξασ ἐκδίδωσιν A | **14** ἅπασι A πᾶσι TER | **18** μονομαχίαν T^c ER μονομαχεῖν T^1 τὸ μονομαχεῖν A | **20** θηρίοισ βορὰν As θηρίων βορᾷ TE θηρῶν βορᾷ R | **23** σ^η ὡσ ὁ συγγραφίλοσ ἦν πάμφιλοσ εὐσεβίου ἀλλ᾽ οὐχ ὡσ ἐνίοισ ἔδοξε δοῦλοσ T^m σ^η ὡσ ὁ συγγραφεὺσ οὗτοσ εὐσέβιοσ παμφίλου φίλοσ καὶ ἕταιροσ ἦν καὶ οὐκὶ δοῦλοσ ὡσ ἐνίοισ δοκεῖ E^m

**1** τῆσ AT^1ER τὴν T^r | ῥητορικῆσ AT^1E ῥητορικοῖσ T^rR ῥητορικ⟨οῖς παιδείας κοσμικ⟩ῆς Schw | **7** ἑαυτοῦ ἐπὶ ergänzt Schw | **10** τοῦ χυ A | **16** ἐπάρχοντα R ἔτ᾽ ἄρχοντα ATE

924 ἐπὶ τῶν πρότερον ὡς ἂν ἄρχοντα αὐτὸν τεθηπότων καταχέασα
δειλόν τε καὶ ἄνανδρον γυναικῶδεις τε προϊέμενον φωνὰς καὶ ἱκεσίας
ὅλῳ τῷ ἔθνει, οὗ δὴ καὶ ἦρχεν, ἐπιδείξασα αὐτόν τε τὸν Μαξιμῖνον,
ἐφ᾽ ᾧ τὸ πρὶν γαυριῶν ἐφρυάττετο ὡς ἂν διαφερόντως αὐτὸν τῶν
δρωμένων αὐτῷ καθ᾽ ἡμῶν ἕνεκα στέργοντι, δικαστὴν ἀπηνῆ καὶ
ὠμότατον ἐπ᾽ αὐτῆς τῆς Καισαρείας καταστήσασα, ὡς καὶ τὴν ἐπὶ
θανάτῳ κατ᾽ αὐτοῦ ψῆφον ἐξενεγκεῖν μετὰ πολλὴν τὴν ἐφ᾽ οἷς
ἐξηλέγχετο ἀτοπήμασιν αἰσχύνην. ἀλλὰ τοῦτο μὲν ὁδοῦ πάρεργον 8
ἡμῖν εἰρήσθω· γένοιτο δ᾽ ἂν προσήκων καιρός, ἐν ᾧ τῶν δυσσεβῶν
οἳ μάλιστα καθ᾽ ἡμῶν ἐστρατεύσαντο, αὐτοῦ τε τοῦ Μαξιμίνου καὶ
τῶν ἀμφ᾽ αὐτόν, τὰ τέλη καὶ τῶν βίων τὰς καταστροφὰς ὁ λόγος
ἡμῖν ἐπὶ σχολῆς περιλήψεται.

Καὶ εἰς ἕκτον δὲ ἔτος πνεύσαντος ἐπιμόνως τοῦ καθ᾽ ἡμῶν 8 1 308/9
χειμῶνος, εἶχεν μὲν πρὸ τούτου τὸ καλούμενον ἐν Θηβαΐδι φερω-
925 νύμως οὗ γεννᾷ πορφυρίτου λίθου μέταλλον πλείστην ὅσην πληθὺν
τῶν τῆς θεοσεβείας ὁμολογητῶν· ἐξ ὧν τρισὶν δέουσι τὸν ἀριθμὸν
ἑκατὸν ἄνδρες ἅμα γυναιξὶν καὶ κομιδῇ νηπίοις πρὸς τὸν τῆς
Παλαιστίνης ἡγούμενον διαπέμπονται· οὓς ἐπὶ τῆς τῶν Ἰουδαίων **
τὸν τῶν ὅλων θεὸν καὶ τὸν Χριστὸν ὁμολογήσαντας, τῶν σκαιῶν
ποδῶν τὰς ἀγκύλας αὐτοῖς νεύροις καυτῆρσιν ἀποτμηθῆναι καὶ αὖ
πάλιν τῶν ὀφθαλμῶν τοὺς δεξιοὺς πρῶτον μὲν ξίφεσιν αὐτοῖς ὑμέσιν
καὶ κόραις ἐκκοπῆναι, εἶτα δὲ πυρὶ διὰ καυτήρων πάμπαν εἰς ῥίζας
αὐτὰς ἀχρειωθῆναι Φιρμιλιανός, ὁ τῇδε διάδοχος Οὐρβανῷ πεμφθεὶς
ἡγούμενος, ὡς ἂν ἐκ βασιλικοῦ νεύματος προστάττει· κἄπειτα αὐτοὺς
τοῖς κατὰ τὴν ἐπαρχίαν μετάλλοις μόχθου καὶ κακοπαθείας ἕνεκεν
ταλαιπωρεῖσθαι παραδίδωσιν. οὐ τούτους δὲ ἄρα μόνον τὰ τηλι- 2
καῦτα παθόντας ἤρκει παραλαβεῖν ὀφθαλμοῖς, ἀλλὰ καὶ Παλαιστίνων
τοὺς ἐπὶ πυγμῇ εἰς μονομαχίας κατακεκρίσθαι μικρῷ πρόσθεν δεδη-
λωμένους, ἐπεὶ μήτε τὰς ἐκ τοῦ βασιλικοῦ ταμείου τροφὰς μήτε
μὴν τὰς ἐπιτηδείους τῇ πυγμῇ μελέτας ὑπέμενον, ἤδη δὲ οὐκ ἐπι- 3

**14** 923, 18/19

ATER

**1** *οὗ γέννα* T¹E *οὗ γεννᾶται* A *γέννα* TʳR | **4** *ἐπὶ τῆσ τῶν ἰουδαίων* T¹E *ἐπὶ τῆσ τῶν ἰουδαίων συναγωγῆσ* TʳR > A *ἐπὶ τῆς τῶν Ἰουδαίων* ⟨*μεγάλης καὶ πολυανθρωποτάτου πόλεως Διοκαισαρείας*⟩ Schw nach s *es war aber eine grosse, volkreiche Stadt im Lande Palaestina und alle ihre Bewohner waren Juden* [*und sie hiess in aramaeischer Sprache Lud*, falscher Zusatz von s] *und griechisch hiess sie Diokaisareia εἰς τὴν πόλιν Διοκαισάρειαν* Menolog. Basil. 15. Juli bei Violet 65 | **11** *ἐπαρχίαν* Schw *ἐπάρχιον* ATER | **15** *ἐπεὶ* A *ἐπεὶ γὰρ* TER

925 τρόποις αὐτὸ μόνον οὐδ' ἡγουμένοις, ἀλλὰ καὶ αὐτῷ Μαξιμίνῳ τού-
του γε ἕνεκεν παραστάντες, γενναιοτάτην ἔνστασιν ὁμολογίας διὰ
λιμοῦ καρτερίας καὶ μαστίγων ὑπομονῆς ἐνεδείξαντο τὰ ὅμοια τοῖς
δηλωθεῖσιν παθόντες μεθ' ἑτέρων προστεθέντων αὐτοῖς ὁμολογη-
τῶν ἐπ' αὐτῆς τῆς Καισαρείας· ὧν κατὰ πόδας ἐπὶ τῇ τῶν θείων 4
ἀναγνωσμάτων συγκροτήσει κατὰ τὴν Γαζαίων πόλιν ἁλόντες ἕτεροι,
οἳ μὲν τὰς αὐτὰς τούτοις ὑπέμειναν κατά τε τῶν ποδῶν καὶ τῶν
ὀφθαλμῶν πάθας, οἳ δὲ καὶ ἔτι μείζους ⟨δι' ὧν⟩ φοβερώτατα κατὰ
926 τῶν πλευρῶν ἐπειράθησαν βασάνων· ἐξ ὧν μία τις, τὸ μὲν σῶμα 5
γυνή, τὸν δὲ λογισμὸν ἄρρην, πορνείας ἀπειλὴν μὴ ἐνεγκοῦσα, εἰ-
ποῦσά τι ῥῆμα κατὰ τοῦ τυράννου ὡς ἂν οὕτως ὠμοῖς δικασταῖς
τὴν ἀρχὴν ἐπιτετραφότος, πρῶτον μὲν μαστίζεται, εἶτα δὲ μετέωρος
ἐπὶ τοῦ ξύλου γενομένη τὰς πλευρὰς αἰκίζεται. ὡς δ' ἐπιμόνως 6
καὶ σφοδρῶς ἐκ προστάξεως τοῦ δικαστοῦ τὰς βασάνους ἐπῆγον οἱ
ταύτῃ τεταγμένοι, ὑπὲρ τοὺς παρ' Ἕλλησιν ἐκείνους τοὺς μαχητὰς
ἐπ' ἐλευθερίᾳ τεθρυλημένους, μὴ βαστάσασα τὸ ἀνηλεὲς καὶ ὠμὸν
καὶ ἀπάνθρωπον τῶν πραττομένων, ἄλλη τις ὁμοίως τῇ προτέρᾳ
τὸν τῆς παρθενίας ἐπανῃρημένη κόπον, τὸ μὲν σῶμα πάνυ γε τῷ
δοκεῖν εὐτελὴς καὶ τὴν ὄψιν εὐκαταφρόνητος, ῥωμαλέα δὲ ἄλλως
τὴν ψυχὴν καὶ μείζονα τοῦ σώματος τὸν λογισμὸν ἐνεστερνισμένη,
»καὶ μέχρι τίνος«, ἐκ μέσου τοῦ ὄχλου, »τὴν ἐμὴν ὠμῶς οὕτως βασα-
νίζεις ἀδελφήν;« ἀνέκραγεν πρὸς τὸν δικαστήν. ὃ δὲ πικρότερον
ὑποκινηθείς, αὐτίκα συλληφθῆναι κελεύει τὴν ἄνθρωπον· εἶτα σύρε- 7
ται εἰς μέσον, καὶ τὸ σεβάσμιον τοῦ σωτῆρος ἐπιγραψαμένη ὄνομα,
πρῶτον μὲν λόγοις θύειν ἀνεπείθετο, ὡς δ' ἠπείθει, βίᾳ πρὸς τὸν
βωμὸν εἵλκετο. ἣ δὲ ἀδελφὰ ἑαυτῇ πράττουσα καὶ τῆς προτέρας
ἐχομένη προθυμίας, ἀτρεμεῖ καὶ θαρσαλέῳ ποδὶ λὰξ ἐντείνει τῷ
βωμῷ, καὶ τὰ εἰς αὐτὸν ἅμα τῇ ἐπικειμένῃ ἀνατρέπει πυρᾷ· ἐφ' ᾧ 8
θηρὸς ἀγρίου δίκην ὁ δικαστὴς ὀξυνθεὶς τὸν θυμόν, τοσαύτας μὲν
αὐτῇ πρότερον αἰκίας κατὰ τῶν πλευρῶν ἐπιτίθησιν, ὅσας οὐδενὶ
τῶν πώποτε, μόνον οὐχὶ καὶ ὠμῶν τῶν σαρκῶν αὐτῆς ἐμφορηθῆναι

ATER

**17** αὐτοῖσ $E^c$R | οὐδ' ἡγουμένοισ $T^c$ER ὁδηγουμένοισ $T^1$ οἱ δηλούμενοι A | **19** ἐνεδείξαντο $T^c E^1$ corr. ἐνεδείξατο $E^1$ ἐνδείξαιντο $T^1$ ἐπεδείξαντο $T^r$R ἐν-δειξάμενοι A | **20** παθόντεσ $T^c$ER παθόντασ $T^1$ πεπόνθασι A | **24** μείζουσ φοβερώτατα $T^1$ μειζόνων φοβερώτατα E μείζουσ φοβερωτάτων A μειζόνων καὶ φοβερῶν $T^r$R μείζους ⟨δι' ὧν⟩ φοβερώτατα Schw

**7** ἐκείνουσ τοὺσ TER ἐκείνουσ A | **9** ἄλλη $AT^rR^c$ ἀλλά $T^1ER^1$ | **10** κόπον Schw σκοπὸν ATER | τῷ TER τὸ A | **20** τὰ εἰσ verdorben πατοῦσα Schw

**926** γλιχόμενος· ὡς δὲ κόρον αὐτῷ ἤδη τὰ τῆς μανίας ἐλάμβανεν, ἄμφω
ζεύξας, αὐτήν [τε] ταύτην ἅμα τῇ πρὸς αὐτῆς ἀδελφῇ προσαγορευθείσῃ, τὸν διὰ πυρὸς αὐτῶν καταψηφίζεται θάνατον. τούτων ἡ
μὲν προτέρα τῆς Γαζαίων χώρας ἐλέγετο, τὴν δ' ἑτέραν ἰστέον ἀπὸ
τῆς Καισαρέων ὡρμῆσθαι, τὴν πολλοῖς γνώριμον, Οὐαλεντῖναν τοὔνομα. τὸ δ' ἐπὶ τούτῳ μαρτύριον πῶς ἂν κατ' ἀξίαν διέλθοιμι, 9
οὗ κατηξίωται ὁ τρὶς μακάριος Παῦλος, κατὰ μὲν τὴν αὐτὴν ταύταις
ὥραν ὑπὸ μίαν ἀπόφασιν τὴν ἐπὶ θανάτῳ κριθείς, πρὸς αὐτῇ δὲ τῇ
τελειώσει τὸν ἀποτέμνειν αὐτὸν ὅσον οὔπω μέλλοντα βραχύ τι ὥρας
**927** ἐνδοῦναι αὐτῷ ἀντιβολήσας· οὗ τυχὼν λαμπρᾷ καὶ γεγωνῷ φωνῇ 10
πρῶτον μὲν τὰς ὑπὲρ τῶν ὁμοεθνῶν ἐπρυτάνευεν τῷ θεῷ δι' εὐχῶν
καταλλαγάς, ᾗ τάχος ἐλευθερίαν αὐτοῖς ἐνδοθῆναι ποτνιώμενος, εἶθ'
ὑπὲρ τῆς Ἰουδαίων πρὸς τὸν θεὸν διὰ Χριστοῦ προσαγωγῆς ἠξίου,
εἶθ' ἑξῆς κατέβαινε τῷ λόγῳ τὰ αὐτὰ καὶ Σαμαρείταις ἐπευχόμενος,
καὶ τοὺς ἐν πλάνῃ δὲ καὶ ἀγνωσίᾳ θεοῦ τῶν ἐθνῶν ὄντας εἰς ἐπίγνωσιν ἐλθεῖν αὐτοῦ καὶ τὴν ἀληθῶς εὐσέβειαν ἀναλαβεῖν παρεκάλει, μηδὲ τοὺς τότε παμμιγεῖ περιεστῶτας ἀτημελήτους καταλιπών· μεθ' οὓς πάντας, ὢ τῆς πολλῆς καὶ ἀφάτου ἀνεξικακίας, καὶ 11
ὑπὲρ τοῦ τὸν θάνατον αὐτῷ προστιμήσαντος δικαστοῦ τῶν τε ἐπὶ
πᾶσιν ἀρχόντων ἔτι τε καὶ τοῦ ὅσον οὔπω τῆς κεφαλῆς αὐτὸν ἀποτεμοῦντος, εἰς ἐπήκοον αὐτοῦ τ' ἐκείνου καὶ τῶν παρόντων ἁπάντων, τοῦ τῶν ὅλων ἐδεῖτο θεοῦ, μηδαμῶς αὐτοῖς ἐν ἀριθμῷ γενέσθαι τὴν εἰς αὐτὸν ἁμαρτάδα παρακαλῶν. ταῦτα καὶ τὰ 12
τοιαῦτα μεγάλῃ φωνῇ κατευξάμενος καὶ μόνον οὐχὶ τοὺς πάντας,
ὡς ἂν ἀδίκως ἀναιρούμενος, εἰς οἶκτον ἑλκύσας καὶ δάκρυα, ᾗ νόμος
αὐτὸς ἑαυτὸν σχηματίσας καὶ τὸν αὐχένα γυμνὸν τῇ τοῦ ξίφους
ἀποτομῇ παραδούς, θείῳ κατεκοσμήθη μαρτυρίῳ, μηνὸς Πανέμου 308
πέμπτῃ καὶ εἰκάδι, ἣ λέγοιτ' ἂν πρὸ ὀκτὼ Καλανδῶν Αὐγούστων.
καὶ τὰ μὲν κατὰ τούσδε τοιοῦτο τέλος εἶχεν· οὐ μακροῦ δὲ διαδρα- 13
μόντος χρόνου, αὖθις ἐκ τῆς Αἰγυπτίων γῆς οἱ θαυμάσιοι τῆς εἰς

**13/14** vgl. Act. 7, 60

ATER

**25** τε streicht Schw | **26/27** ἡ μὲν AR μὲν ἡ TE | **29** τὸδ E τόδ' R τὸ AT

**3/4** εἶθ' ὑπὲρ A ὑπὲρ T¹ ὑπέρ τε ER καὶ ὑπὲρ Tr | **4** ἰουδαίων A, Tr auf Rasur [T¹Tc nicht zu erkennen] τῶν ἰουδαίων ER | **7** αὐτοῦ Valois αὐτοὺσ ATER | **8** παμμιγεῖ Schw παμμιγῆ ATER | **16** ᾗ νόμοσ TcER ἣν ὅμωσ T¹ ὅμωσ A *willig* [= προθύμως] s | **20** μὲν AR > TE | τοιοῦτο A > TER

927 *Χριστὸν ὁμολογίας ἀθληταί, τριάκοντα πρὸς ἑκατόν, ἐκ προστάξεως
Μαξιμίνου τὰς αὐτὰς τοῖς πρῴην ἐπ᾽ αὐτῆς Αἰγύπτου εἴς τε τοὺς
ὀφθαλμοὺς καὶ τοὺς πόδας συμφορὰς ὑποστάντες, τοῖς δεδηλω-
μένοις ἐν Παλαιστίνῃ μετάλλοις, οἳ δὲ τοῖς κατὰ Κιλικίαν κατακρί-
τοις παραπέμπονται.*

*Ἐπὶ δὴ τοῖς τοσούτοις τῶν μεγαλοπρεπῶν Χριστοῦ μαρτύρων* 9 1
*ἀνδραγαθήμασι λωφησάσης καὶ ὡς ἂν εἰ τοῖς ἱεροῖς αὐτῶν αἵμασι*
928 *τῆς τοῦ διωγμοῦ πυρκαϊᾶς ἀποσβεννυμένης ἀνέσεώς τε ἤδη καὶ ἐλευ-
θερίας τοῖς ἐπὶ Θηβαΐδος εἰς τὰ αὐτόθι μέταλλα διὰ Χριστὸν κατα-
πονουμένοις συγκεχωρημένης μικρόν τε καθαροῦ μελλόντων ἡμῶν
ὑπαναπνεῖν ἀέρος, οὐκ οἶδ᾽ ὅπως ἔκ τινος ἀνακινήσεως πάλιν ἐξ
ὑπαρχῆς ὁ τοῦ διώκειν τὴν ἐξουσίαν εἰληχὼς κατὰ Χριστιανῶν
ἀνεκάετο. ἀθρόως δ᾽ οὖν αὖθις Μαξιμίνου διαφοιτᾷ καθ᾽ ἡμῶν* 2
*πανταχοῦ γράμματα ⟨οἵ⟩ τε κατ᾽ ἐπαρχίαν ἡγεμόνες καὶ προσέτι ὁ
τῶν στρατοπέδων ἄρχειν ἐπιτεταγμένος προγράμμασι καὶ ἐπιστολαῖς
καὶ δημοσίοις διατάγμασι τοὺς ἐν ἁπάσαις πόλεσι λογιστὰς ἅμα
στρατηγοῖς καὶ ταβουλαρίοις ἐπέσπερχον τὸ βασιλικὸν εἰς πέρας
ἄγειν πρόσταγμα, κελεῦον ὡς ἂν μετὰ σπουδῆς πάσης τῶν μὲν εἰ-
δωλείων ἀνοικοδομοῖεν τὰ πεπτωκότα, πανδημεὶ δὲ πάντας, ἄνδρας
ἅμα γυναιξὶν καὶ οἰκέταις αὐτοῖς ὑπομαζίοις παισί, θύειν καὶ σπέν-
δειν αὐτῶν τε ἀκριβῶς τῶν ἐναγῶν ἀπογεύεσθαι θυσιῶν ἐπιμελὲς
ποιοῖντο, καὶ τὰ μὲν κατ᾽ ἀγορὰν ὤνια ταῖς ἀπὸ τῶν θυσιῶν
σπονδαῖς καταμολύνοιτο, πρόσθεν δὲ τῶν λουτρῶν ἔφεδροι κατα-
τάσσοιντο, ὡς ἂν τοὺς ἐν τούτοις ἀποκαθαιρομένους ταῖς παμμιάροις
μολύνοιεν θυσίαις. τούτων δῆτα οὕτως ἐπιτελουμένων ἐξ ὑπαρχῆς* 3
*τε τῶν ἡμετέρων πλείστῃ, οἷα δὴ εἰκὸς ἦν, φροντίδι συνεχομένων
τῶν τε ἀπίστων ἐθνῶν βαρεῖαν τῶν γινομένων καὶ ὡς ἂν περιττὴν
ἤδη τὴν ἀτοπίαν καταμεμφομένων (προσκορῆ γὰρ καὶ φορτικὰ ταῦτα
καὶ αὐτοῖς εἶναι κατεφαίνετο) μεγίστου τε χειμῶνος τοῖς πανταχῇ
πᾶσιν ἐπηρτημένου, τοὔμπαλιν ἡ θεία τοῦ σωτῆρος ἡμῶν δύναμις*

ATER

**23** *πρώην* $T^{1}$ER *πρὶν* $T^{r}$ *προτέροισ* A | **25/26** *κατακρίτοισ* ER *den Richtern* [= *κριταῖς*] s *κατάκριτοι* AT | **27** *ἐπιδὴ* $A^{1}T^{r}$R *ἐπειδὴ* $A^{c}T^{1}$E

**3** *τε καθαροῦ* $T^{c}$ER *τεγκθαροῦ* [über ε Rasur] $T^{1}$ *τε ἐκ καθαροῦ* A | **7** *γράμματα οἵ τε* Schw *γράμματά τε* $T^{1}$E *γράμματα καὶ* $T^{r}$R *κατ᾽ ἐπαρχίαν* mit *ἡγεμόνες* verbunden s *γράμματα* A | *ἡγεμόνεσ* TER *ἡγεμόνεσ τε* A | **7/8** *πρὸσ ἔτι ὁ τῶν* $T^{c}$ER *πρὸσ ἔτι ὁ τοῦ τῶν* A *πρὸσ ἐπι τούτων* $T^{1}$ | **8** *ἐπιτεταγμένου* $T^{1}$ corr. $T^{r}$, $T^{c}$ getilgt | **9** *δημοσίοισ* A > TER | **10** *ἐπέσπερχον τὸ* As *ἐπεσπέρχοντο* $T^{1}$ *ἐπέσπερχεν τὸ* E *ἐπέσπερχε τὸ* $T^{c}$R | **11/12** *εἰδωλείων* Schw nach s *εἰδώλων* ATER

928 τοῖς αὐτῆς ἀθληταῖς θάρσος τοσοῦτον ἐνέπνει, ὡς μηδ᾿ ἐπισπω-
μένου τινὸς μηδ᾿ ἕλκοντος τὴν τῶν τοσούτων καταπατεῖν ἀπει-
λήν. ὁμόσε δὴ οὖν τρεῖς συνταξάμενοι τῶν πιστῶν ἐπιπηδῶσιν 4
εἰδώλοις θύοντι τῷ ἄρχοντι παύσασθαι τῆς πλάνης ἐμβοώμενοι·
μὴ γὰρ δὴ ἄλλον ὑπάρχειν πλὴν τοῦ τῶν ὅλων ποιητοῦ τε καὶ
929 δημιουργοῦ θεόν. ἀνερωτώμενοι δῆτα τίνες εἶεν, Χριστιανοὺς
σφᾶς θαρσαλέως ὡμολόγουν· ἐφ᾿ οἷς ὀξύτερον παρακινηθεὶς ὁ Φιρ- 5
μιλιανός, μηδὲ βασάνοις αὐτοὺς αἰκισάμενος, κεφαλικῇ παραδίδωσιν
κολάσει. τούτων ὁ μὲν πρεσβύτερος ἦν Ἀντωνῖνος ὄνομα, ὁ δὲ
Ζεβινᾶς ἐκαλεῖτο, τῆς Ἐλευθεροπολιτῶν ὁρμώμενος, Γερμανὸς δὲ καὶ
τῷ τρίτῳ ἦν ἡ προσηγορία· Δίου μηνὸς τρισκαιδεκάτῃ, Εἴδοις Νοεμ- 309
βρίαις, καὶ τὰ κατὰ τούτους ἐπράχθη. γίνεται δ᾿ αὐτοῖς συναπόδη- 6
μος ἐπ᾿ αὐτῆς ἡμέρας Ἐνναθάς, τῶν ἀπὸ Σκυθοπόλεώς τις γυνή
παρθενίας στέμματι καὶ αὐτὴ κεκοσμημένη, οὐ ταὐτὸν μὲν αὐτοῖς
διαπραξαμένη, ἑλχθεῖσα δὲ βίᾳ καὶ προσαχθεῖσα τῷ δικαστῇ μετὰ μά- 7
στιγας καὶ δεινὰς ὕβρεις, ἃς ἐπαγαγεῖν αὐτῇ οὐδὲ μετὰ γνώμης τῆς
μείζονος ἐξουσίας τῶν κατὰ γειτνίαν ἐφεστώτων τις χιλιάρχων ἐτόλμα,
Μάξυς ὄνομα, χείρων τῆς προσηγορίας ἄνθρωπος, μιαρὸς μὲν τὰ
ἄλλα, ἰσχυρὸς δ᾿ ὑπερβαλλόντως τὸ ἦθος καὶ τὸν πάντα τρόπον
δεινός τις ὄντως καὶ παρὰ πᾶσι τοῖς γνωρίμοις διαβεβλημένος. οὗ-
τος μέν γε ἐσθῆτος ἁπάσης τὴν μακαρίαν ἀποδύσας, ὡς τὴν ἐξ
ὀσφύος αὐτὸ μόνον καὶ ἐπὶ πόδας καλύπτεσθαι, τὸ δ᾿ ἄλλο σῶμα
γυμνὸν ἔχειν, τήν τε πᾶσαν Καισαρέων πόλιν κύκλῳ περιαγαγών,
ἱμᾶσιν ἀνὰ πάσας ἑλκομένην τὰς ἀγορὰς τύπτεσθαι περὶ πολλοῦ
ποιεῖται. καὶ δὴ μετὰ τοσαῦτα θαρσαλεωτάτην ἔνστασιν καὶ ἐπ᾿ 8
αὐτῶν τῶν ἡγεμονικῶν βημάτων ἐνδειξαμένην, ζῶσαν πυρὶ παρα-
δίδωσιν ὁ δικαστής· ὃς καὶ ⟨ἐπὶ⟩ τὸ ἀπάνθρωπον ἐπιτείνας τὴν
κατὰ τῶν θεοσεβῶν λύτταν, πέρα τῶν τῆς φύσεως προήει θεσμῶν,
οὐδὲ ταφῆς αἰδούμενος ἀψύχοις φθονῆσαι τοῖς τῶν ἱερῶν ἀνδρῶν
σώμασι. νύκτωρ δ᾿ οὖν ἐπιμελῶς καὶ μεθ᾿ ἡμέραν ὑπαίθρους 9
θηρσὶν εἰς βορὰν τοὺς νεκροὺς φυλάττεσθαι προστάττει, καὶ παρῆν
ὁρᾶν ἐπὶ πλείοσιν ἡμέραις οὐκ ὀλίγον ἀνδρῶν ἀριθμὸν τῇ θηριώδει
ταύτῃ καὶ βαρβάρῳ βουλῇ διακονουμένων· ἀλλ᾿ οἳ μὲν ἐξ ἀπόπτου,

ATER

**24** ἀθληταῖσ A > TERs

**8** ἐνναθᾶσ AT ἐνναθα E ἐνναθὰ R μαναθὼ und μανεθὼ Menologien bei Violet 68, die ἐνναθᾶ [p. 63] auf 926, 1 beziehen | **9** στέμματι AT στέμμασι ER | **10/11** μάστιγασ $T^1$ER μάστιγασ οὖν A δὲ μάστιγασ $T^r$ | **11** ἐπαγαγεῖν Valois ἐπήγαγεν Π | **20** ποιεῖται AT ποιεῖ ER | **22** ἐπὶ ergänzt Schwegler

929 οἷόν τι σπουδῆς ἄξιον, ὡς μὴ οἱ νεκροὶ κλαπεῖεν, ἐπεσκόπουν, θῆρες
δὲ ἄγριοι καὶ κύνες οἰωνῶν τε τὰ σαρκοβόρα τὰ βρότεια μέλη ὧδε
κἀκεῖσε ἐσπάραττον, [καὶ] ἡ πᾶσά γε μὴν ἐν κύκλῳ πόλις σπλάγχνων 10
καὶ ὀστέων ἀνθρωπείων διεστόρνυτο, ὡς μηδέ τι πώποτε δεινότερον
930 μηδ' αὐτοῖς ὅσοι πρότερον ἀπεχθῶς εἶχον πρὸς ἡμᾶς, φανῆναι
φρικωδέστερον, οὐχ οὕτω τὴν συμφορὰν εἰς οὓς ἐπράττετο ταῦτα,
ὡς ἐπὶ τῇ σφῶν αὐτῶν καὶ τῆς κοινῆς ἁπάντων ὕβρει φύσεως
ἀπολοφυρομένων. προὔκειτο γὰρ ἄγχιστα πυλῶν θέαμα παντὸς 11
λόγου καὶ τραγικῆς ἀκοῆς μεῖζον, οὐκ ἐφ' ἑνὶ χώρῳ κατεσθιομένων
τῶν ἀνθρωπείων σαρκῶν, ἀλλὰ κατὰ πάντα τόπον διαρριπτουμένων·
μέλη γοῦν ὅλα καὶ σάρκας μέρη τέ τινα σπλάγχνων καὶ πυλῶν εἴσω
τινὲς κατιδεῖν εἰρήκασιν· ἐφ' οἷς πλείσταις ἡμέραις ἐπιτελουμένοις 12
τοιοῦτόν τι παράδοξον συμβαίνει. αἰθρία ἦν καὶ λαμπρὸς ἀὴρ
καὶ τοῦ περιέχοντος κατάστασις εὐδινοτάτη· εἶτα ἀθρόως τῶν ἀνὰ
τὴν πόλιν κιόνων οἳ τὰς δημοσίας ὑπήρειδον στοάς, δακρύων τινὰ
τρόπον οἱ πλείους σταλαγμοὺς ἀπέσταζον, ἀγοραί τε καὶ πλατεῖαι,
μηδεμιᾶς ψεκάδος ἐξ ἀέρος γεγενημένης, οὐκ οἶδ' ὁπόθεν ὕδατι
ῥανθεῖσαι καθυγραίνοντο, ὡς αὐτίκα διαθρυληθῆναι εἰς πάντας
δακρῦσαι τὴν γῆν ἀρρήτῳ λόγῳ, τὴν τῶν τότε πραχθέντων ἀνοσιουρ-
γίαν μὴ φέρουσαν, εἰς ἔλεγχόν τε φύσεως ἀτέγκτου καὶ ἀσυμπαθοῦς
ἀνθρώπων λίθους καὶ τὴν ἄψυχον ὕλην ἐπικλαῦσαι τοῖς γεγενημέ-
νοις. λῆρος ἴσως καὶ μῦθος εὖ οἶδ' ὅτι δόξει εἶναι τὸ ῥῆμα τοῖς 13
μεθ' ἡμᾶς, ἀλλ' οὐχ οἷσπερ ὁ καιρὸς τὴν ἀλήθειαν ἐπιστώσατο.

Τοῦ δ' ἐπιόντος μηνὸς Ἀπελλαίου τεσσαρεσκαιδεκάτῃ (πρὸ 10 1 309
δεκαεννέα Καλανδῶν Ἰανουαρίων λέγοιτ' ἂν) πάλιν αὖ τῶν ἀπ'
Αἰγύπτου τινὲς πρὸς τῶν ἐπὶ ταῖς πύλαις τοὺς παριόντας διερευνω-
μένων συλληφθέντες (ἐτύγχανον δ' οὗτοι θεραπείας ἕνεκα τῶν κατὰ
Κιλικίαν ὁμολογητῶν στειλάμενοι), οἳ μὲν τὴν αὐτὴν οἷς ἔτυχον
ἐξυπηρετησόμενοι, κατεδέξαντο ψῆφον, ὀφθαλμοὺς καὶ πόδας
ἀχρειωθέντες, τρεῖς δ' αὐτῶν ἐν Ἀσκάλωνι, ἔνθα καὶ ἐνέσχηντο,
θαυμασίαν [τε] παράστασιν ἀνδρείας παρεσχημένοι, διάφορον ἀπηνέγ-
καντο μαρτυρίου τέλος, ὁ μέν τις αὐτῶν πυρὶ παραδοθείς, Ἄρης
ὄνομα, οἳ δὲ τὰς κεφαλὰς ἀποτμηθέντες· Πρόμος καὶ Ἠλίας τούτοις
ἦν ἡ προσηγορία. Αὐδυναίου δὲ μηνὸς ἡμέρᾳ μιᾷ καὶ δεκάτῃ (εἴη 2 310
δ' ἂν ἡ πρὸ τριῶν Εἰδῶν Ἰανουαρίων) ἐπὶ [τῆς] αὐτῆς Καισαρείας

ATER

**31** *καὶ* streicht Schw

7 *ὅλα καὶ σάρκασ* TER *καὶ σάρκασ ὅλασ* A | **18** *καὶ μῦθοσ* A > TER | *δόξει* Schw *δόξειεν* ATER | **27** *τε* AT$^1$ER durch Rasur getilgt T |
**29** פרימוס s | **31** *am 10. Januar* s | *τῆς* streicht Schw

931 Πέτρος ἀσκητὴς ὁ καὶ Ἀψέλαμος ἀπὸ Ἀνέας κώμης τῶν ὅρων
Ἐλευθεροπόλεως διὰ πυρός, οἷα χρυσὸς ἀκραιφνέστατος, τῆς εἰς τὸν
Χριστὸν τοῦ θεοῦ πίστεως εὐγενεῖ λογισμῷ τὴν δοκιμὴν ἀποδέδωκεν,
μυρία μὲν λιπαροῦντας τόν τε δικαστὴν καὶ τοὺς ἀμφ' αὐτόν, ὡς
ἂν ἐλεήσειεν ἑαυτὸν καὶ τῆς ἰδίας φείσαιτο νεότητός τε καὶ ἀκμῆς,
ὑπεριδών, προτιμήσας δ' ἁπάντων καὶ ζωῆς αὐτῆς τὴν ἐπὶ τὸν τῶν
ὅλων θεὸν ἐλπίδα. τούτῳ δὲ τῆς κατὰ Μαρκίωνα πλάνης ἐπίσκο- 3
πός τις εἶναι δοκῶν Ἀσκληπιὸς ζήλῳ μέν, ὡς ᾤετο, εὐσεβείας, ἀλλ'
οὔτι γε τῆς κατ' ἐπίγνωσιν, ὅμως δ' οὖν μιᾷ καὶ τῇ αὐτῇ πυρᾷ τὸν
βίον ἐξελήλυθεν. ἀλλὰ ταῦτα μὲν ταύτῃ·

καιρὸς δῆτα καλεῖ τὸ μέγα καὶ περιβόητον ἀνιστορῆσαι θέατρον 11 1
τῶν ἀμφὶ τὸ τριπόθητον ἔμοιγε ὄνομα Παμφίλου τελειωθέντων,
δώδεκα δ' ἦσαν οἱ πάντες προφητικοῦ τινος ἢ καὶ ἀποστολικοῦ

11—S. 945, 12 g ist von den Bollandisten Anal. Boll. 16, 129 ff. veröffentlicht nach p = Paris. 1452, w = Vindob. hist. gr. 11, o = Ottobon. 92; die Handschrift von Jerusalem [$n^0$ 1] ist noch unbekannt. Überschrift in p *ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μαρτύρων Παμφίλου Οὐάλεντος Παύλου Σελεύκου Πορφυρίου Θεοδούλου Ἰουλιανοῦ καὶ τῶν σὺν αὐτοῖς Αἰγυπτίων συγγραφεῖσα παρὰ Εὐσεβίου τοῦ Παμφίλου*

*Καιρὸς δὴ καλεῖ πρὸς πᾶσι τὸ μέγα καὶ περιβόητον ἀνιστορῆσαι θέατρον* 11 1
*Παμφίλου τοῦ ἁγίου μάρτυρος καὶ τῶν σὺν αὐτῶι τελειωθέντων θαυμασίων ἀν-*
*δρῶν καὶ πολυτρόπους εὐσεβείας ἄθλους ἐπιδεδειγμένων. πλείστων γοῦν ὅσων ἐγνωσμένων ἡμῖν κατὰ τὸν διωγμὸν ἀνδρισαμένων, τὸν περὶ ὧν ὁ λόγος ἀγῶνα σπανιώτατον ὧν ἡμεῖς ἔγνωμεν, ἱστορήσαμεν, ἀθρόως ἐν αὐτῶι πᾶν εἶδος ἡλικιῶν τε σώματος καὶ ψυχῶν ἀγωγῆς βίου τε καὶ ἀναστροφῆς διαφόρου περιειληφότα βασάνων τε ποικίλοις εἴδεσι καὶ τοῖς κατὰ τὸ τέλειον μαρτύριον ἐνηλλαγμένοις στεφάνοις κεκοσμημένον. νέους τε γὰρ ἦν ἰδεῖν καὶ κομιδῆι παῖδας τῶν σὺν αὐτοῖς Αἰγυπτίων τινάς, ἡβῶντας δὲ ἄλλους, μεθ' ὧν καὶ ὁ Πορφύριος ἦν, ἀκμαίους τε αὖ σώματί τε ὁμοῦ καὶ φρονήσει τοὺς ἀμφὶ τὸ ποθεινόν μοι ὄνομα καὶ τὸν Ἰαμνίτην Παῦλον Σέλευκόν τε καὶ Ἰουλιανόν, ἄμφω τῆς Καππαδοκῶν γῆς*

ATER

**1** *ὅρων* A *ὀρῶν* $T^1$ *ὄρων* E *ὀρῶν* $T^cR^1$ *ὁρίων* $R^c$ | **5** *ἑαυτὸν* $T^rR$ *τε αὐτὸν* $AT^1E$ | *φείσαιτο* jüngere Abschriften *φείσαιντο* A *φείσεται* TE *φείσηται*, *η* auf Rasur $R^c$ | **7** *τούτω* AR *τούτων* TE | **10** *ἐξελήλυθεν* $T^cER$ *ἐξελήλυθαν* $T^1$ *συνεξελήλυθεν* A

**20** *πᾶσι* p *ἅπασι* wo | **22/23** *ὅσων ἐγνωσμένων—κατὰ τὸν* Schw *ὅσον κατὰ τῶν ἐγνωσμένων ἡμῖν* wo *ὅσων κατὰ τὸν ἐγνωσμένον ἡμῖν* p | **24** *ὧν* p *ὃν* wo | **25** *βίου* p *βίων* wo

932 ὁρμωμένους· ἦσαν δὲ ἐν αὐτοῖς καὶ ἱερᾶι πολιᾶι βαθυτάτωι τε γήραι πεπυκασμένοι, Οὐάλης, διάκονος τῆς Ἱεροσολυμιτῶν ἐκκλησίας, καὶ ὁ τοὔνομα ἐπαληθεύσας Θεόδουλος. τοιαύτη μὲν οὖν ἐν αὐτοῖς ἡ τῶν ἡλικιῶν ἐτύγχανε ποικιλία· ψυχῶν δὲ ἀγωγαῖς διήλλαττον, οἳ μὲν ἰδιωτικώτερον οἷα παῖδες καὶ ἁπλούστερον ἔτι τὸν νοῦν φοροῦντες, οἳ δὲ καὶ πάνυ στιβαρὸν καὶ ἐμβριθὲς κεκτημένοι τὸ ἦθος, ἦσαν δὲ ἐν αὐτοῖς καὶ οἱ τῶν ἱερῶν μαθημάτων οὐκ ἀνεπιστήμονες· συγγενῶς δὲ ἅπασιν ὑπερφυὴς καὶ ἐνάρετος ἡ ἀνδρεία προσῆν. οἷα δέ τις ἐν ἀποστίλβουσιν ἄστροις ἡμεροφανὴς φωστὴρ ἐν μέσοις διέπρεπεν ἐξαστράπτων ὁ ἐμὸς δεσπότης (οὐ γὰρ ἑτέρως προσειπεῖν ἔστι μοι θέμις τὸν θεσπέσιον καὶ μακάριον ὡς ἀληθῶς Πάμφιλον)· παιδείας γὰρ οὗτος τῆς παρ᾽ Ἕλλησι θαυμαζομένης οὐ μετρίως ἧπτο τῆι τε κατὰ τὰ θεῖα δόγματα καὶ τὰς θεοπνεύστους γραφάς, εἰ χρή τι θρασύτερον, πλὴν ἀληθὲς εἰπεῖν, ὡς οὐδ᾽ ἕτερον ἔχει τις φάναι τῶν κατ᾽ αὐτόν, ἤσκητο. μεῖζον δὲ τούτων ἐκέκτητο πλεονέκτημα τὴν οἴκοθεν, μᾶλλον δὲ θεόθεν αὐτῶι δεδωρημένην σύνεσίν τε καὶ σοφίαν. καὶ τὰ μὲν περὶ ψυχὴν οὕτως εἶχον οἱ πάντες· βίου δὲ αὖθις καὶ ἀναστροφῆς πλείστη τις ἐν αὐτοῖς ὑπῆρχε διαλλαγή, τοῦ μὲν Παμφίλου ἐξ εὐπατριδῶν κατάγοντος τὸ κατὰ σάρκα γένος ἐπισήμως τε ταῖς κατὰ τὴν πατρίδα πολιτείαις διαπρέψαντος, τοῦ δὲ Σελεύκου ταῖς κατὰ τὴν στρατείαν ἀξίαις περιφανέστατα τετιμημένου, τῶν δὲ τῆς μέσης καὶ κοινῆς γεγονότων ἀγωγῆς. οὐκ ἦν δὲ αὐτῶν ὁ χορὸς οὐδὲ τοῦ οἰκετικοῦ γένους ἐκτός· ὅ τε γὰρ ἡγεμονικῆς οἰκετίας θεράπων αὐτοῖς συγκατείλεκτο καὶ ὁ Πορφύριος, τὸ μὲν δοκεῖν τοῦ Παμφίλου γεγονὼς οἰκέτης, διαθέσει γε μὴν ἀδελφοῦ καὶ μᾶλλον γνησίου παιδὸς διενηνοχὼς οὐδὲν ἢ ἐλλείπων τῆς πρὸς τὸν δεσπότην κατὰ πάντα μιμήσεως. καὶ τί γὰρ ἀλλ᾽ εἰ φαίη τις αὐτοὺς ὁλόκληρον ἐν βραχεῖ τύπον ἐκκλησιαστικοῦ συστήματος περιειληφέναι, οὐκ ἂν ἐκτὸς βάλοι τῆς ἀληθείας, πρεσβυτερίου μὲν ἐν αὐτοῖς ἠξιωμένου τοῦ Παμφίλου διακονίας τε τοῦ Οὐάλεντος τήν τε τῶν ἐπὶ τοῦ πλήθους ἀναγινώσκειν εἰθισμένων τάξιν εἰληχότων ἑτέρων ὁμολογίαις τε διὰ καρτερικωτάτης μαστίγων ὑπομονῆς ἔτι πάλαι πρὸ τοῦ κατὰ τὸ μαρτύριον τέλους τοῦ Σελεύκου διαπρέψαντος καὶ τὴν τῆς στρατιωτικῆς ἀξίας ἀποβολὴν ἐρρωμένως καταδεξαμένου τῶν τε λοιπῶν ἐπὶ τούτοις διὰ κατηχουμένων καὶ πιστῶν τοὐπίλοιπον τῆς ὡς ἐν εἰκόνι σμικρᾶι μυριάνδρου ἐκκλησίας ἀφομοίωμα φερούσης ἀναπληρούντων. οὕτω παράδοξον τὴν τοσούτων καὶ τηλικούτων μαρτύρων ἐκλογὴν ἐθεωρήσαμεν, καθ᾽ ἣν καίτοι γε

**2** διάκονοσ ps τισ διάκονοσ wo | **5** φοροῦντεσ p φρονοῦντεσ wo | **6** οἱ Schw τοῖσ pwo | **9** ἑτέρωσ wo ἑταῖρον p | **9/10** μακάριον ps τρισμακάριον wo | **10** γὰρ p τε γὰρ wo | **11** τῆι Schw τῆσ pwo | **15** βίου p βίων wo | **16** τὸ wo > p | **17** γένοσ wo γένουσ p | τε p δὲ wo | **21** καὶ ὁ ps > wo | **22** διενηνοχὼσ p > wo | οὐδὲν ἢ p οὐδὲ wo | **23** εἰ φαίει wo ἡ φωνῆ p | **27** τε wos > p | **28** τέλουσ ps > wo

933 οὐ πολλοῖς τὸν ἀριθμὸν οὖσιν ὅμως οὐδὲν ἀπέδει ταγμάτων ἐν ἀνθρώποις εὑρισκομένων. οἷα γοῦν ἐν πολυχόρδωι λύραι ἐξ ἀνομοίων συνεστώσηι χορδῶν, ὀξειῶν καὶ βαρειῶν τῶν τε ἀνειμένων καὶ ἐπιτεταμένων καὶ μέσων εὖ διηρμοσμένων ἁπασῶν τέχνηι τῆι μουσικῆι, κατὰ τὰ αὐτὰ δὴ καὶ ἐπὶ τούτων νέοι κατὰ τὸ αὐτὸ καὶ πρεσβῦται δοῦλοί τε ὁμοῦ καὶ ἐλεύθεροι λόγιοί τε καὶ ἰδιῶται ἄδοξοί τε κατὰ τὸ τοῖς πολλοῖς δοκοῦν καὶ ἐπίδοξοι πιστοί τε καὶ κατηχούμενοι ἅμα καὶ διάκονοι σὺν πρεσβυτέροις, οἱ πάντες ὡς ἂν ὑφ᾽ ἑνὸς πανσόφου μουσουργοῦ, τοῦ μονογενοῦς τοῦ θεοῦ λόγου, ποικίλως ἀνακρουσθέντες καὶ τῆς ἐν αὐτοῖς ἕκαστοι δυνάμεως διὰ τῆς τῶν βασάνων ὑπομονῆς ἐνδειξάμενοι τὴν ἀρετὴν τούς τε τῆς ὁμολογίας λαμπροτάτους καὶ ἐμμελεῖς ἁρμονίους τε καὶ συμφώνους ἐπὶ τῶν δικαστηρίων φθόγγους ἀποδεδωκότες ὑφ᾽ ἓν καὶ ταυτὸ τέλος, τὴν εὐσεβεστάτην καὶ πάνσοφον διὰ τῆς τοῦ μαρτυρίου τελειώσεως τῶι θεῶι τῶν ὅλων ἀπεπλήρωσαν μελωιδίαν. ὑπερθαυμάζειν δὲ ἄξιον καὶ τὸν ἀριθμὸν τῶν ἀνδρῶν προφητικόν τι χάρισμα καὶ ἀποστολικὸν δηλοῦντα· δώδεκα γὰρ εἶναι συνέβη τοὺς πάντας ὁπόσους πατριάρχας καὶ προφήτας καὶ ἀποστόλους γενέσθαι παρειλήφαμεν. οὐ παρετέον οὐδὲ τὰς κατὰ μέρος ἑκάστου πολυτλήτους ἀνδρείας, ⟨τὰς⟩ κατὰ τῶν πλευρῶν ξέσεις καὶ τὰς διὰ τριχῶν αἰγείων ὑφῆς κατὰ τῶν ξεσθέντων τοῦ σώματος μερῶν ἐκτρίψεις τάς τε ἀνηκέστους μάστιγας καὶ τὰς πολυτρόπους καὶ ἐνηλλαγμένας βασάνους δεινάς τε καὶ δυσκαρτερήτους στρεβλώσεις ἃς ἐπικελευομένου τοῦ δικαστοῦ χερσὶν καὶ ποσὶν ἐπιτείνοντες οἱ δορυφόροι τῆι βίαι κατηνάγκαζον πρᾶξαί τι τῶν ἀπειρημένων τοὺς μάρτυρας. τί χρὴ λέγειν τὰς ἀειμνήστους τῶν θεσπεσίων φωνὰς ἐν αἷς ἧττον πεφροντικότες τῶν πόνων λαμπρῶι καὶ φαιδρῶι τῶι προσώπωι τὰς τοῦ δικαστοῦ πεύσεις ἠμείβοντο, πρὸς αὐταῖς βασάνοις γελῶντες ἀνδρικῶς ἤθει τε σπουδαίωι κατειρωνευόμενοι αὐτοῦ τὰς ἐρωτήσεις; ἐρομένου γὰρ ὁπόθεν εἶεν, τὴν ἐπὶ γῆς πόλιν φράζειν παρέντες, τὴν ὄντως ἑαυτῶν ἀνεδήλουν πατρίδα, ἀπὸ Ἱερουσαλὴμ ἑαυτοὺς ἀναγορεύοντες· ἐνέφαινον δὲ ἄρα κατὰ τὸν αὐτῶν νοῦν τὴν ἐπουράνιον τοῦ θεοῦ, ἐφ᾽ ἣν καὶ ἔσπευδον, πόλιν. καὶ ἄλλα δὲ τοιουτότροπα, ἄγνωστα μὲν καὶ ἀσύνοπτα τοῖς τῶν ἱερῶν ἀγεύστοις, μόνοις δὲ αὐτοῖς καὶ τοῖς ἐκ τῆς θείας πίστεως ὡρμημένοις ἀριδηλότατα προέφερον· ἐφ᾽ οἷς δὴ μάλιστα ὁ δικαστὴς ἀγανακτικῶς καὶ μάλα ὀργίλως σφαδάζων καὶ τὸν λογισμὸν ἀπορούμενος, ποικίλας, ὡς ἂν μὴ ἡττηθείη, τὰς κατ᾽ αὐτῶν ἐπενόει μηχανάς· ἔπειτα πεσὼν τῆς ἐλπίδος, τέλος ἑκάστωι τὰ τῆς νίκης ἀποφέρεσθαι παρεχώρει

2 γοῦν wo οὖν p | 5 τε$^2$ > p | 6 καὶ κατηχούμενοι ps κατηχουμένοισ wo | 8 ἕκαστοι p ἕκαστοσ wo | 13 δὲ wos > p | 13/14 τι χάρισμα καὶ ἀποστολικὸν δηλοῦντα wo vgl. G δηλοῦντα χορὸν p | 15 παρετέον wos παρ᾽ ἑτέρων p | 16 τὰς ergänzt Schw | 17 ὑφῆσ p > wo | 19 χερσὶν wo καὶ χερσὶ p | 22 τῶ wo > p | 29 ἀριδηλότατα p ἀριδήλωσ ταῦτα wo | προέφερον Schw προσέφερον pwo | 31 ποικίλασ wo ποικίλωσ p | 32 ἔπειτα wo κἄπειτα p

934 χαρίσματος καὶ ἀριθμοῦ κατηξιωμένοι· ὧν ὁ κορυφαῖος καὶ τῇ τοῦ 2
κατὰ Καισάρειαν πρεσβείου τιμῇ κεκοσμημένος μόνος ἐτύγχανεν ὁ
Πάμφιλος, ἀνὴρ καὶ παρ᾽ ὅλον αὐτοῦ τὸν βίον πάσῃ διαπρέψας
ἀρετῇ, ἀποτάξει καὶ καταφρονήσει βίου, τῆς οὐσίας εἰς ἐνδεεῖς
κοινωνίᾳ, κοσμικῶν ἐλπίδων ὀλιγωρίᾳ, φιλοσόφῳ πολιτείᾳ καὶ
ἀσκήσει· μάλιστα δὲ παρὰ τοὺς καθ᾽ ἡμᾶς πάντας διέπρεπεν τῇ περὶ
τὰ θεῖα λόγια γνησιωτάτῃ σπουδῇ ἀτρύτῳ τε περὶ ἃ προύθετο
φιλοπονίᾳ καὶ τῇ περὶ τοὺς προσήκοντας καὶ πάντας τοὺς αὐτῷ
πλησιάζοντας ὠφελείᾳ· οὗ τὰ λοιπὰ τῆς ἀρετῆς κατορθώματα, 3
μακροτέρας ὄντα διηγήσεως, ἐπ᾽ ἰδίας τῆς τοῦ κατ᾽ αὐτὸν ὑπο-

βραβεῖα. ποικίλος δ᾽ ἦν αὐτῶν καὶ ὁ τῆς τελευτῆς τρόπος, δυεῖν μὲν τῶν ἐν αὐτοῖς κατηχουμένων τῶι διὰ πυρὸς βαπτίσματι τελειωθέντων, ἑτέρου δὲ τῶι τοῦ σωτηρίου πάθους σχήματι παραδοθέντος, τῶν δὲ ἀμφὶ τὸ ποθεινόν μοι ὄνομα διαλλάττουσι βραβείοις ἀναδησαμένων. τάδε μὲν οὖν φαίη ἄν τις καθολικώτερον τούτων μεμνημένος·

κατὰ μέρος δὲ ἕκαστον ἐπεξιὼν εἰκότως ἂν τοῦ χοροῦ τὸν πρωτοστάτην 2
μακαρίσειεν. Πάμφιλος οὗτος ἦν, ὁ θεοφιλὴς ὄντως ἀνὴρ καὶ πάντων ὡς
ἀληθῶς φίλος τε καὶ προσήγορος, ἐπαληθεύων τὴν ἐπωνυμίαν, τῆς Καισαρέων
ἐκκλησίας ὁ κόσμος, ἐπεὶ καὶ τὴν τῶν πρεσβυτέρων καθέδραν πρεσβύτερος ὢν
ἐδόξαζε, κοσμῶν ὁμοῦ καὶ κοσμούμενος τῆι ἐνταῦθα λειτουργίαι. κἂν τοῖς
ἄλλοις δὲ θεῖος ἦν ὄντως καὶ θείας μετέχων ἐμπνεύσεως, ἐπεὶ καὶ παρ᾽ ὅλον
αὐτοῦ τὸν βίον ἀρετῆι πάσηι διαπρέψας ἔτυχε, μακρὰ μὲν χαίρειν εἰπὼν τρυφῆι
καὶ πλούτου περιουσίαι, ὅλον δὲ ἑαυτὸν ἀναθεὶς τῶι τοῦ θεοῦ λόγωι. ἀποδό-
μενος γέ τοι τὰ εἰς αὐτὸν ἐκ προγόνων ἥκοντα γυμνοῖς, πηροῖς καὶ πένησιν τὰ
πάντα διένειμεν, αὐτὸς δὲ ἐν ἀκτήμονι διῆγε βίωι, δι᾽ ἀσκήσεως καρτερικωτάτης
τὴν ἔνθεον μετιὼν φιλοσοφίαν. ὡρμᾶτο μὲν οὖν ἐκ τῆς Βηρυτίων πόλεως,
ἔνθα τὴν πρώτην ἡλικίαν τοῖς αὐτόθι τέθραπτο παιδευτηρίοις· ἐπεὶ δὲ τὰ τῆς
φρονήσεως εἰς τελείους ἄνδρας αὐτῶι προήιει, μετέβαινεν ἀπὸ τῶνδε ἐπὶ τὴν
τῶν ἱερῶν λόγων ἐπιστήμην, ἀνελάμβανεν δὲ ἐνθέου καὶ προφητικοῦ βίου τρόπον
καὶ θεοῦ μάρτυρα ἀληθῆ αὐτὸς ἑαυτὸν καὶ πρὸ τῆς ὑστάτης τελευτῆς τοῦ βίου

ATER

**4** τῆσ TER τῇ τῆσ A | **5** φιλοσόφωι A φιλοσοφίαι T^c ER φιλοσοφίαν T^1

**12** πυρὸσ wo πυρὸσ καὶ p | ἑτέρου p ἕτεροσ wo | **14** φαίη p φαίην wo | **20** τῇ — λειτουργία p τὴν — λειτουργίαν wo | **23** δὲ p > wo | λόγω wo λόγον p | **24/25** τὰ πάντα wo ἅπαντα p | **25** διένειμεν αὐτὸσ δὲ wos αὐτὸσ p | **28** προήιει Schw προσίει p προσειὴ wo | **30** ἀληθῆ αὐτὸσ wo αὐτὸσ ἀληθῆ p | τῆσ ὑστάτησ o τῆσ ὑπάτησ w > p

935 *θέσεως βίου γραφῇ ἐν τρισὶν ἤδη πρότερον ὑπομνήμασι παραδε-
δώκαμεν. ἀλλὰ γὰρ ἐπ᾿ ἐκεῖνα τοὺς φιλοτίμως καὶ ταῦτα εἰδέναι
ἔχοντας ἀναπέμψαντες, τὰ νῦν ἐχώμεθα τῆς κατὰ τοὺς μάρτυρας
ἀκολουθίας. δεύτερος μετὰ Πάμφιλον ἐπὶ τὸν ἀγῶνα παρῄει,* 4
*ἱεροπρεπεῖ πολιᾷ τετιμημένος, Οὐάλης, τῶν ἀπὸ Αἰλίας διάκονος,
αὐτῇ προσόψει σεμνότατος πρεσβύτης, τῶν θείων γραφῶν εἰ καί
τις ἄλλος ἐπιστήμων· τοσαύτας γέ τοι μνήμας αὐτῶν ἐνεστέρνιστο
ὡς μὴ ἐνδεῖν τῆς ἀπὸ γραμμάτων ἐντεύξεως τῆς ἧς ποτε λάβοι
γραφῆς οἵας δοῦν ἀπεμνημόνευσε διεξόδους. τρίτος ὁ θερμουργό-* 5
*τατος καὶ τῷ πνεύματι ζέων ἀπὸ τῆς Ἰαμνιτῶν πόλεως ἐν αὐτοῖς
ἐγνωρίζετο Παῦλος, πρὸ τοῦ μαρτυρίου διὰ καυτήρων ὑπομονῆς τὸν
τῆς ὁμολογίας διαθλήσας ἀγῶνα. τούτοις ἐπὶ τῆς εἱρκτῆς ἐτῶν
δυεῖν ὅλων χρόνον κατατρίψασιν ὑπόθεσις τοῦ μαρτυρίου γίνεται
Αἰγυπτίων αὖθις ἀδελφῶν ἔφοδος τῶν καὶ σὺν αὐτοῖς τελειωθέν-
των. τοὺς κατὰ Κιλικίαν οὗτοι μέχρι τῶν αὐτόθι μετάλλων ὁμο-* 6
*λογητὰς προπέμψαντες, ἐπαλινόστουν ἐπὶ τὰ οἰκεῖα. ὁμοίως δῆτα*

*παρίστη. ἀλλ᾿ ὁ μὲν Πάμφιλος τοιοῦτος ἦν· δεύτερος δὲ μετ᾿ αὐτὸν ἐπὶ τὸν* 4
*ἀγῶνα παρῄιει Οὐάλης, γηραιᾶι καὶ ἱεροπρεπεῖ πολιᾶι τετιμημένος αὐτῆι τε
προσόψει σεμνὸς καὶ ἱερὸς πρεσβύτης, οὐ μὴν ἀλλὰ καὶ τῶν θείων γραφῶν, εἰ
καί τις ἄλλος, εἰδήμων. τοσαύτας γέ τοι μνήμας αὐτῶν ἐνεστερνίσατο, ὡς
μηδὲν ἀποδεῖν τῆς ἀπὸ γραμμάτων ἐντεύξεως τὰς διὰ μνήμης αὐτῶι σωιζομένας
τῶν ἱερῶν μαθημάτων ἀπαγγελίας. διάκονος δὲ ἦν, καίπερ ὢν τοιοῦτος, τῆς
Αἰλιέων ἐκκλησίας. τρίτος ἐν τοῖσδε κατηριθμεῖτο Παῦλος, θερμουργότατος* 5
*καὶ τῶι πνεύματι ζέων ἀνήρ· ἀπὸ τῆς Ἰαμνιτῶν πόλεως ἐγνωρίζετο, ὃς δὴ καὶ
πρὸ τοῦ μαρτυρίου διὰ καυτήρων ὑπομονῆς τὸν τῆς ὁμολογίας ἀγῶνα διηθλήκει.*
*τούτοις ἐπὶ τῆς εἱρκτῆς δυεῖν ἐτῶν χρόνον κατατριβομένοις ὑπόθεσις τοῦ* 6
*μαρτυρίου ἐγένετο Αἰγυπτίων ἄφιξις τῶν καὶ σὺν αὐτοῖς τελειωθέντων· τοὺς κατὰ
Κιλικίαν οὗτοι καταπονουμένους ἐν τοῖς μετάλλοις μέχρι τῶν τόπων καταστή-*

ATER

**1** *γραφῆι* Schw *γραφῆσ* ATER | **8** *ἧς* Schw *εἰ Π* | **9** *ἀπεμνημόνευσε* Schw *ἀπεμνημονεῦσαι Π*

**20** *ἐνεστερνίσατο* wo *ἐστερνίσατο* p | **21** *μηδὲν* wo *μηδὲ* p | *ἀποδεῖν* p vgl. G *ἀπάδειν* wo | **22** *μαθημάτων* p *μαθητῶν* wo | *ἀπαγγελίασ* p *ἐπαγγελίασ* wo | *δὲ* wo > p | **23** *θερμουργότατοσ* pG *θερμότατοσ* wo | **24/25** *δὴ — τοῦ* ps vgl. G *διὰ τοῦ* wo | **26** *δυεῖν* pG *δυσὶν* wo | *ἐτῶν* wo *ἐτοῖν* p | *χρόνον* G *χρόνιων* p *χρόνοισ* wo | **27** *καὶ* wosG > p | *τοὺσ* G *οὓσ* p *τοὺσ δὲ* wo | **27/28** *κατὰ κιλικίαν* psG *καὶ λίαν* wo | **28** *οὗτοι* pG *οὕτω* wo

936 *καὶ αὐτοὶ πρὸς αὐταῖς εἰσόδοις τῶν κατὰ Καισάρειαν πυλῶν, τίνες τε εἶεν καὶ ὁπόθεν ἀφικνούμενοι, πρὸς τῶν φυλάκων (βάρβαροι δέ τινες ὑπῆρχον οὗτοι τὸν τρόπον) ἀνερωτηθέντες καὶ μηδὲν τῆς ἀληθείας ἀποκρυψάμενοι, οἷα κακοῦργοι ἐπ' αὐτοφώρῳ ληφθέντες, συνείχοντο· πέντε δ' ἦσαν οὗτοι τὸν ἀριθμόν· οἳ καὶ προσαχθέντες* 7
*τῷ τυράννῳ κἀπὶ τούτου παρρησιασάμενοι, αὐτίκα μὲν καθείργνυνται δεσμωτηρίῳ· τῇ δ' ἑξῆς, Περιτίου μηνὸς ἡμέρᾳ ἑκκαιδεκάτῃ (Μαρ-* 310
*τίου κατὰ Ῥωμαίους ἡ πρὸ δεκατεσσάρων Καλανδῶν), ἐκ προστάγματος τούτους δὴ αὐτοὺς ἅμα τοῖς ἀμφὶ τὸν Πάμφιλον δεδηλωμένοις τῷ δικαστῇ προσάγουσιν· ὃς καὶ πρῶτον τῆς τῶν Αἰγυπτίων* 8
*ἀκαταμαχήτου ἐνστάσεως παντοίοις βασάνων εἴδεσιν μηχανῶν τε ξένων καὶ ποικίλων ἐπινοίαις πεῖραν λαμβάνει. τὸν μὲν προήγορον ἁπάντων τούτοις ἐγγυμνάσας τοῖς ἄθλοις, τίς εἴη, πρῶτον ἠρώτα, εἶτ' ἀντὶ τοῦ κυρίου ὀνόματος προφητικόν τι ἐπακούσας — τοῦτο δὲ καὶ πρὸς ἁπάντων ἐγίνετο, ἀντὶ τῶν πατρόθεν αὐτοῖς ἐπιπεφημισμένων εἰδωλικῶν ὄντων, εἰ τύχοι, μετατεθεικότων ἑαυτοῖς τὰς*
937

936 *σαντες, ἐπὶ τὴν οἰκείαν ἐπαλινόστουν. καὶ δὴ πρὸς ταῖς εἰσόδοις τῶν κατὰ Καισάρειαν πυλῶν, τίνες τε εἶεν καὶ πόθεν ἀφικόμενοι, πρὸς τῶν φυλάκων ἐρωτηθέντες καὶ μηδὲν τἀληθοῦς ἀποκρύψαντες, Χριστιανοὺς δὲ φάντες ἑαυτούς, κακούργων τρόπωι ἐπ' αὐτοφώρωι ληφθέντων συνελαμβάνοντο· πέντε δὲ ἦσαν τὸν ἀριθμόν· οἳ δὴ προσαχθέντες τῶι ἄρχοντι κἀπὶ τούτου παρρησιασάμενοι,* 7
*δεσμοῖς μὲν αὐτίκα παραδίδονται, τῆι δὲ ὑστεραίαι, Περιτίου μηνὸς ἑξκαιδεκάτηι, κατὰ Ῥωμαίους δὲ τῆι πρὸ δεκατεσσάρων Καλανδῶν Μαρτίων, αὐτοὺς δὴ τούτους σὺν τοῖς ἀμφὶ τὸν Πάμφιλον τῶι Φιρμιλιανῶι προσάγουσιν. ὃ δὲ τῶν Αἰ-* 8
*γυπτίων ἀπεπειρᾶτο μόνων πρῶτον, βασάνων εἴδεσιν παντοίοις διαγυμνάζων τοὺς ἄνδρας. τὸν μὲν οὖν προήγορον αὐτῶν εἰς μέσον ἀγαγών, τίς εἴη καὶ πόθεν, ἠρώτα, εἶτ' ἀντὶ τοῦ κυρίου ὀνόματος προφητικόν τι ἐπακούσας — τοῦτο δὲ καὶ*

ATER

**3** *τὸν τρόπον* A *τὸν πρῶτον* $T^1$ *τὸ πρῶτον* $T^c$ER | **12** *λαμβάνει* A *λαμβάνειν* $T^1$ER *λαβὼν* $T^r$ *ἀπεπειρᾶτο* g | **15** *καὶ πρὸς ἁπάντων* Schw nach g *καὶ πρὸσ αὐτῶν* TER *πρὸσ αὐτῶν* A

**17** *τε* woG > p | *πρὸσ* p'G *παρὰ* wo | **18** *χριστιανοὺσ* wo *χριστιανοὶ* p | **19** *ληφθέντων* Boll *ληφθέντεσ* p *δεθέντων* wo | *συνελαμβάνοντο* wo *κατελαμβάνοντο* p | **20** *δὴ* Schw *δὲ* pwo | **21** *δὲ* woG > p | **22** *ῥωμαίουσ δὲ* p *δὲ ῥωμαίουσ* wo | **24** *πρῶτον* Schw nach G *πρὸ τῶν* pwo | **25** *προήγορον* pG *προσήγορον* wo | **26** *εἶτ'* Schw nach G *ἥτισ* wo *ὅστισ* p | *ἐπακούσασ* wosG *ἑαυτῷ προσῆπτε* p | *καὶ* psG > wo

937 *προσηγορίας· Ἠλίαν γοῦν καὶ Ἱερεμίαν Ἡσαΐαν τε καὶ Σαμουὴλ καὶ*
*Δανιὴλ ἤκουες ἂν αὐτῶν ἐπιγραφομένων καὶ τὸν ἐν κρυπτῷ Ἰου-*
*δαῖον γνήσιόν τε καὶ εἰλικρινῶς Ἰσραὴλ τοῦ θεοῦ οὐ μόνον ἔργοις,*
*ἀλλὰ φωναῖς κυρίως ἐκφερομέναις ἐπιδεικνυμένων — τοιοῦτον οὖν*
*τι πρὸς τοῦ μάρτυρος ὄνομα ἐπακούσας ὁ Φιρμιλιανός, οὐ μὴν*
*ἐπιστήσας τῇ τοῦ ῥήματος δυνάμει, δεύτερον ἥτις αὐτοῦ πατρὶς γέ-*
*νοιτο, ἠρώτα· ὃ δὲ συνῳδὸν τῇ προτέρᾳ δευτέραν ἀφίησιν φωνήν,* 9
*Ἱερουσαλὴμ εἶναι λέγων τὴν ἑαυτοῦ πατρίδα, ἐκείνην δῆτα νοῶν*
*περὶ ἧς εἴρηται τῷ Παύλῳ ›ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα*
*ἐστίν, ἥτις ἐστὶν μήτηρ ἡμῶν‹ καὶ ›προσεληλύθατε Σιὼν*
*ὄρει καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ‹. καὶ* 10
938 *ὃ μὲν ταύτην ἐνόει· ὃ δ᾽ ἐπὶ χθόνα καὶ χαμαὶ ῥίψας τὴν διάνοιαν,*
*ἥτις εἴη αὕτη καὶ ποῖ γῆς κειμένη, ἀκριβῶς ἐπολυπραγμόνει, εἶτα*

937 *πρὸς τῶν λοιπῶν ἐγίνετο, ἀντὶ τῶν πατρόθεν αὐτοῖς ἐπιπεφημισμένων εἰδωλικῶν*
*ὀνομάτων προφητικὰς ἑαυτοῖς ἐπιθέντων ἐπωνυμίας· Ἠλίαν γοῦν καὶ Ἱερεμίαν*
*Ἡσαίαν τε καὶ Σαμουὴλ καὶ Δανιὴλ ἤκουσας ἂν αὐτῶν ἑαυτοὺς ὀνομαζόντων καὶ*
*τὸν ἐν κρυπτῶι Ἰουδαῖον καὶ γνήσιον Ἰσραηλίτην αὐτοῖς ἔργοις οὐ μόνον, ἀλλὰ*
*καὶ φωναῖς κυρίως ἐκφερομέναις ἐνδεικνυμένων — τοιοῦτον οὖν τι πρὸς τοῦ*
*μάρτυρος ἐπακούσας ὁ δικαστὴς ὄνομα, οὐ μὴν τῆι τοῦ ῥήματος ἐπιστήσας δυ-*
*νάμει, δεύτερον ἥτις αὐτοῦ πατρὶς εἴη, ἠρώτα· ὃ δὲ συνωιδὸν τῆι προτέραι δευ-* 9
*τέραν ἀφίησι φωνήν, Ἱερουσαλὴμ εἶναι λέγων τὴν ἑαυτοῦ πατρίδα, ἐκείνην δῆτα*
*νοῶν περὶ ἧς εἴρηται τῶι Παύλωι ›ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν,*
*ἥτις ἐστὶ μήτηρ ἡμῶν‹ καὶ ›προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει θεοῦ*
*ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίωι‹. καὶ ὃ μὲν ταύτην ἐνόει· ὃ δὲ ἐπὶ* 10
938 *χθόνα καὶ χαμαὶ ῥίψας τὴν διάνοιαν, τίς εἴη αὕτη καὶ ἐπὶ γῆς ποῖ κειμένη,*
*ἀκριβῶς ἐπολυπραγμόνει καὶ δῆτα καὶ βασάνους ἐπῆγεν, ὡς ἂν τἀληθὲς ὁμο-*

**3/4** Rom. 2, 29 — **4** Gal. 6, 16 vgl. Ioann. 1, 48 — **10/11** Gal. 4, 26 — **11/12** Hebr. 12, 22

ATER

**2** *ἠσαίαν* Eg *καὶ ἠσαίαν* ATR | **3** *ἤκουεσ ἂν* A *ἤκουσαν* $T^1$ER *ἤκουσεν* $T^r$ | **5** *ἐκφερομέναισ* $AT^r$g *ἐμφερομέναισ* ER | **5/6** *οὖν τι* TERg *τι οὖν* A

**13** *λοιπῶν* p *ἄλλων* wo | **13/14** *τῶν — ἐπιπεφημισμένων εἰδωλικῶν ὀνομάτων* wosG *τῆς — ἐπιτεθείσησ ἐπωνυμίασ* p | **13** *πατρόθεν* pG *πατρώων* wo | **14** *προφητικὰσ — ἐπωνυμίασ* wos > p | **18** *ἐπακούσασ ὁ δικαστὴσ* p vgl. G *ὁ δικαστὴσ ἀκούσασ* wo | **19** *πατρὶσ εἴη* p vgl. G *εἴη ἡ πατρὶσ* wo | *συνωιδὸν* sG *συνοδοῦ* p *συνάδων* wo | **19/20** *τῆι — λέγων* psG > wo | **21** *τῶ* woG > p | *δὲ* pG > wo | **23** *ἐνόει* pG *ἐνενόει* wo

**15** *ἐπὶ γῆς ποῖ* Schw *ὑπὸ γῆσ ποίασ* pwo *ποῖ γῖς* G

938 καὶ βασάνους ἐπῆγεν, ὡς ἂν τἀληθὲς ὁμολογοίη. ὃ δὲ στρεβλούμενος κατόπιν τὼ χεῖρε καὶ τοῖν ποδοῖν μαγγάνοις τισὶ ξένοις διακλώμενος, τἀληθὲς εἰπεῖν ἀπισχυρίζετο. εἶτα πάλιν πολλάκις 11
ἐρομένου τίς εἴη καὶ ποῖ κειμένη ἣν δὴ φράζει πόλιν, μόνων εἶναι τῶν θεοσεβῶν ταύτην ἔλεγεν πατρίδα· μὴ γὰρ ἑτέροις ἢ τούτοις μόνοις αὐτῆς μετεῖναι, κεῖσθαι δὲ πρὸς αὐταῖς ἀνατολαῖς καὶ πρὸς ἀνίσχοντι ἡλίῳ. ὃ μὲν πάλιν διὰ τούτων κατὰ τὸν ἴδιον νοῦν 12
ἐφιλοσόφει, μηδαμῶς τῶν ἐν κύκλῳ βασάνοις αὐτὸν αἰκιζομένων ἐπιστροφὴν ποιούμενος, ἄσαρκος δ᾽ ὥσπερ καὶ ἀσώματος οὐδ᾽ ἐπαΐειν δοκῶν τῶν ἀλγηδόνων· ὃ δ᾽ ἀπορούμενος ἐσφάδαζεν, ἐχθρὰν καὶ Ῥωμαίοις πολεμίαν πάντως που συστήσασθαι πόλιν Χριστιανοὺς οἰόμενος, πολύς τε ἦν ταύτην ἀνερευνῶν καὶ τὴν δηλωθεῖσαν χώραν
939 κατ᾽ ἀνατολὰς ἐξετάζων. ὡς δ᾽ ἐπὶ πλεῖον μάστιξι τὸν νεανίαν 13
καταξήνας παντοίαις τε τιμωρησάμενος βασάνοις ἀπαράλλακτον τὴν ἔνστασιν τῶν πρότερον αὐτῷ ῥηθέντων ἐγίνωσκεν, τὴν ἐπὶ θανάτῳ

938 λογοίη. ὃ δὲ στρεβλούμενος κατόπιν τὼ χεῖρε καὶ τοῖν ποδοῖν μαγγάνοις τισὶν διακλώμενος, εἰρηκέναι τἀληθὲς διισχυρίζετο. εἶτα ταυτὰ πάλιν καὶ 11
πολλάκις πυνθανομένου τίς εἴη καὶ ποῖ κειμένη ἡ λεχθεῖσα πόλις Ἱερουσαλήμ, μόνων αὐτὴν εἶναι τῶν Χριστιανῶν ἔλεγε πατρίδα· μὴ γὰρ καὶ ἑτέροις ἢ τούτοις μόνοις αὐτῆς μετεῖναι· κεῖσθαι δὲ πρὸς ἀνατολαῖς καὶ πρὸς αὐτῶι φωτὶ καὶ ἡλίωι. ὃ μὲν καὶ πάλιν διὰ τούτων κατὰ τὸν οἰκεῖον νοῦν ἐφιλοσόφει, τῶν ἐν 12
κύκλωι βασάνοις αὐτὸν αἰκιζομένων οὐδὲν ἐπιστρεφόμενος, ὥσπερ δέ τις ἄσαρκος καὶ ἀσώματος οὐδὲ ἐπαισθάνεσθαι ἐδόκει τῶν ἀλγηδόνων· ὁ δὲ δικαστὴς ἀπορούμενος ἐσφάδαζεν, ἐχθρὰν καὶ Ῥωμαίοις πολεμίαν τάχα που συστήσασθαι ἑαυτοῖς πόλιν Χριστιανοὺς οἰόμενος, πολύς τε ἦν ἐπικείμενος ταῖς βασάνοις καὶ ἀνερευνῶν 13
939 τὴν δηλωθεῖσαν πόλιν τήν τε κατὰ ἀνατολὰς ἐξετάζων χώραν. ὡς δὲ καὶ ἐπὶ
16 πλεῖον μάστιξι τὸν νεανίαν καταξήνας ἀπαράλλακτον τῶν πρότερον αὐτῶι ῥηθέντων ἑώρα, τὴν ἐπὶ θανάτωι κατ᾽ αὐτοῦ κεφαλικὴν ἐκφέρει ψῆφον. καὶ τὰ

ATER

**5** τἀληθὲς g ἀληθὲσ ATER | **13** συστήσασθαι gs συστήσεσθαι Π

**17/18** κατόπιν—διακλώμενοσ psG > wo | **18** ταυτὰ Schw ταῦτα wo αὖ p | **19** πόλισ p πόλισ ἡ wo | **20** μόνων Schw nach G μόνον wo μόνην p | **21** ἀνατολαῖσ pG ἀνατολὰσ wo | **23** αἰκιζομένων pG αἰκιζόντων wo | οὐδὲν wo οὐδὲ p | ἐπιστρεφόμενοσ ps vgl. G αἰσθανόμενοσ wo | **24** οὐδὲ p vgl. G οὐδὲν wo | ἐπαισθάνεσθαι p vgl. G πάσχειν wo | ἀλγηδόνων pG ἀλγεινῶν wo | **25** ἐχθρὰν pG τῇ ἐχθρᾷ wo

**17** ἑώρα ps ὁρῶν ἐπειρᾶτο wo | θανάτω pG θάνατον wo | ἐκφέρει pG ἐκφέρειν wo

939 *κατ᾽ αὐτοῦ κεφαλικὴν ἐκφέρει ψῆφον. τοσαύτην μὲν οὖν τὰ κατὰ
τοῦτον δραματουργίαν εἰλήχει· καὶ τοὺς λοιποὺς δὲ τοῖς παραπλησίοις
ἄθλοις ἐγγυμνάσας τὸν ὅμοιον ἀπαλλάττει τρόπον. εἶτ᾽ ἀποκαμὼν* 14
*διαγνούς τε εἰς μάτην τιμωρεῖσθαι τοὺς ἄνδρας, ἐπιθυμίας κόρον
λαβών, ἐπὶ τοὺς ἀμφὶ τὸν Πάμφιλον μέτεισιν, ἀναδιδαχθείς τε ὡς
ἤδη καὶ πρότερον διὰ βασάνων ἀμετάθετον ἐνεδείξαντο τὴν ὑπὲρ
τῆς πίστεως προθυμίαν, ἀνερωτήσας εἰ ἄρα εἰς ἔτι κἂν νῦν πει-
θαρχοῖεν, δεξάμενός τε αὐτὸ μόνον παρ᾽ ἑνὸς ἑκάστου τὴν τελευ-
ταίαν αὐτῶν τῆς κατὰ τὸ μαρτύριον ὁμολογίας φωνήν, τὴν αὐτὴν
τοῖς προτέροις ἐπάγει τιμωρίαν. τούτων ἐπὶ πέρας ἀχθέντων,* 15
*μειράκιον τῆς οἰκετικῆς ὑπάρχον τοῦ Παμφίλου θεραπείας, οἷα*
940 *γνησίᾳ ἀνατροφῇ καὶ παιδείᾳ τοῦ τηλικούτου συνησκημένον ἀνδρός,
ὡς ἔγνω τὴν κατὰ τοῦ δεσπότου ψῆφον, ἀπὸ μέσης τῆς πληθύος
ἀναβοᾷ, γῇ τὰ σώματα παραδοθῆναι ἀξιῶν. ὁ δ᾽ οὐκ ἄνθρωπος,* 16

939 *μὲν κατὰ τοῦτον τοιαύτην εἴληφε δραματουργίαν· καὶ τοὺς λοιποὺς δὲ τῶν Αἰ-
γυπτίων τοῖς παραπλησίοις διαγυμνάσας παλαίσμασι, τὸν ὅμοιον ἀπαλλάττει
τρόπον. εἶτα ἐκ τούτων ἐπὶ τοὺς ἀμφὶ τὸν Πάμφιλον μεταβάς, ἀνεδιδάσκετο* 14
*ὡς ἄρα πρότερον ἤδη πλείστων εἶεν βασάνων πεπειραμένοι· ἄτοπον δὲ εἶναι λογι-
σάμενος ταῖς αὐταῖς αἰκίαις περιβάλλειν τοὺς ἄνδρας καὶ μάταια μοχθεῖν, τοσοῦ-
τον μόνον εἰ κἂν νῦν πειθαρχοῖεν, ἀνεπυνθάνετο, ἀκούσας δὲ παρ᾽ ἑκάστου τὴν
ὑστάτην τῆς μαρτυρίας φωνήν, παραπλησίως κεφαλικὴν τιμωρίαν κατ᾽ αὐτῶν
ἐξενεγκάμενος ἐπάγει. οὔπω δὲ αὐτῶι πᾶν εἴρητο τὸ ἔπος, καί ποθεν ἀνα-* 15
*βοᾶι μειράκιόν τι τῆς οἰκετικῆς τοῦ Παμφίλου θεραπείας ἐκ μέσου τοῦ πλήθους
τῶν ἀμφὶ τὸ δικαστήριον κυκλούντων παρελθὸν εἰς μέσον· ἐβόα δὲ μεγάληι τῆι
φωνῆι ταφῆι τὰ σώματα ἐξαιτούμενον. Πορφύριος ἦν ὁ μακάριος, θρέμμα
γνήσιον Παμφίλου οὐδ᾽ ὅλων ὀκτωκαίδεκα ἐτῶν, καλλιγραφικῆς ἐπιστήμης ἔμ-*
940 *πειρος, σωφροσύνης δὲ ἕνεκα καὶ τρόπων πάντα καλύπτων ἐγκώμια ὡς οἷα ὑπὸ
τηλικῶιδε ἀνδρὶ συνησκημένος. ὡς ἔγνω τὴν κατὰ τοῦ δεσπότου ψῆφον, ἀπὸ
μέσης τῆς πληθύος ἀνέκραγε, γῆι τὰ σώματα παραδοθῆναι ἀξιῶν. ὃ δὲ οὐκ* 16

ATER

**10** *κἂν* Ag *καὶ* TER

**18** *κατὰ τοῦτον* pG *κατ᾽ αὐτὸν* wo | **19** *ἀπαλλάττει* G *ἐπάγει* pwo | **23** *εἰ κἂν νῦν* pG *νικᾶν εἰ νῦν* wo | **25** *ἐπάγει* o *ὑπάγει* pw | *τὸ* wo > p | **27** *παρελθὸν* Boll *παρελθὼν* pwo | *δὲ* p > wo | *τῇ* wo > p | **28** *ἐξαιτούμενον* p *ἐξαιτούμενοσ* wo | *ἦν* p *δὲ ἦν* wo | **29** *ὀκτωκαίδεκα ἐτῶν* p *ἐτῶν ὀκτωκαίδεκα* wo

**17** *τηλικῶδε* p *τοιούτω* wo | **17/18** *ὡς — ἀξιῶν* [= G] von s bezeugt, Dittographie zu S. 939, 25—28 *καί ποθεν — ἐξαιτούμενον* | **17** *ὡς* wo *ὡσ δὲ* p | **18** *παραδοθῆναι*] *ἀξιῶν* p *ἀξιῶ παραδοθῆναι* wo

940 ἀλλὰ θὴρ καὶ εἴ τι θηρὸς ἀγριώτερον, μήτε ⟨τῆς αἰτήσεως τὸ εὔ-
λογον ἀποδεξάμενος μήτε⟩ τῷ τῆς ἡλικίας ἀπονείμας νέῳ συγγνώ-
μην, αὐτὸ μόνον ὡς ἐρωτήσας ὁμολογοῦντα Χριστιανὸν ἔμαθεν,
ὥσπερ ὑπό τινος τρωθεὶς βέλους, οἰδήσας τὸν θυμόν, ὅλῃ δυνάμει
τοῖς βασανισταῖς χρῆσθαι κατ᾽ αὐτοῦ προστάττει· ὡς δ᾽ ἐπικελευο- 17
μένου θύειν ἀνανεύοντα ἑώρα, οὐκέθ᾽ ὡς σάρκας ἀνθρώπου, ἀλλ᾽ ἢ
λίθους ἢ ξύλα ἤ τι τῶν ἄλλων ἀψύχων ἄχρις αὐτῶν ὀστέων καὶ
τῶν ἐν βάθει καὶ ἐν μυχοῖς σπλάγχνων παραμόνως καταξαίνεσθαι
κελεύει. εἰς μακρὸν δὲ τούτου γινομένου, μάτην ἐγχειρεῖν διέγνω,
ἀφώνου καὶ ἀνεπαισθήτου, μικροῦ δὲ δεῖν καὶ πάντῃ ἀψύχου τοῦ
σώματος αὐτῷ ταῖς βασάνοις κατατριβομένου· παράμονον δὲ τὸ 18
ἀνηλεὲς καὶ ἀπάνθρωπον κεκτημένος, εὐθὺς ὡς εἶχεν μακρῷ πυρὶ
941 παραδοθῆναι αὐτὸν ἀποφαίνεται. καὶ οὗτος μὲν πρὸ τῆς τοῦ
κατὰ σάρκα δεσπότου τελειώσεως, ὕστατος ἐπὶ τὸν ἀγῶνα παρελ-
θών, τὴν ἀπὸ τοῦ σώματος ἀπαλλαγὴν προύλαβεν, ἔτι διαμελλόν-
των τῶν περὶ τοὺς προτέρους ἐσπουδακότων· ἦν δὲ ἄρα τὸν Πορ- 19
φύριον ἰδεῖν ἱερονίκου διαθέσει πάμμαχον νενικηκότος κεκονιμένον

940 ἄνθρωπος, ἀλλὰ θὴρ καὶ θηρίου παντὸς ἀγριώτερος, μήτε τῆς αἰτήσεως τὸ εὔ- 17
λογον ἀποδεξάμενος μήτε τῶι τῆς ἡλικίας ἀπονείμας νέωι συγγνώμην, αὐτὸ μόνον
ὡς ὁμολογοῦντα Χριστιανὸν ἔμαθε, παντὶ σθένει τοῖς βασανισταῖς κατ᾽ αὐτοῦ
χρῆσθαι προστάττει. ὡς δὲ ἐπικελευομένου θύειν ἀνένευεν ὁ θαυμάσιος, οὐκέθ᾽
οἷα σάρκας ἀνθρώπου, ἀλλ᾽ οἷα λίθους ἢ ξύλα ἤ τι τῶν ἀψύχων ἕτερον ἄχρις
ὀστέων αὐτῶν καὶ τῶν κατὰ βάθους σπλάγχνων αἰκίζειν αὐτὸν καὶ πᾶν τὸ σῶμα 18
καταξαίνειν ἐπικελεύεται. εἰς μακρὸν δὲ τούτου γινομένου, μάτην ἐγχειρεῖν
διέγνω, ἀφώνου μικροῦ δεῖν καὶ ἀψύχου τοῦ σώματος τῶι γενναίωι μάρτυρι
καταστάντος· παράμονον δὲ τὸ ἀνηλεὲς καὶ ἀπάνθρωπον κεκτημένος ὁ δικαστὴς
τριχῶν πεπλεγμένοις ὑφάσμασιν τὰς ἐκδαρείσας ταῖς βασάνοις πλευρὰς ψήχειν καὶ
941 τρίβειν ἐπὶ πλέον προστάττει, εἶθ᾽ ὥσπερ κόρον λαβὼν καὶ τῆς μανίας ἐμ-
φορηθεὶς μακρῶι καὶ μαλθακῶι πυρὶ παραβληθῆναι αὐτὸν ἀποφαίνεται. οὗτος
μὲν οὖν πρὸ τῆς τοῦ Παμφίλου τελειώσεως, ὕστατος ἐπὶ τὸν ἀγῶνα παρελθών,
τῆι ἀπὸ τοῦ σώματος ἀπαλλαγῆι τὸν δεσπότην προέλαβεν· ἦν δὲ ἄρα τὸν Πορ- 19
φύριον θεωρεῖν ἱερονίκου διαθέσει πάμμαχον νενικηκότος κεκονιμένον τὸ σῶμα,

ATER

4/5 τῆς αἰτήσεως — μήτε g > Π

22/23 οὐκέθ᾽ οἷα Boll οὐκέθ᾽ οἷ p οὐκέτι ἔθηγον wo | 23 ἢ ξύλα pG καὶ ξύλα wo | ἕτερον p ἕτερα wo | 24 τῶν woG > p | 28 ταῖσ βασάνοισ πλευρὰσ p πλευρὰσ ταῖσ βασάνοισ wo | ψήχειν καὶ p > wo

15 ὥσπερ p οὕτωσ wo | 18 τῇ — ἀπαλλαγῇ p τὴν — ἀπαλλαγὴν wo | τὸν po πρὸσ τὸν w

941 μὲν τὸ σῶμα, φαιδρὸν δὲ τὸ πρόσωπον, θαρσαλέῳ φρονήματι καὶ
γαύρῳ μετὰ τοσαῦτα τὴν ἐπὶ θανάτῳ βαδίζοντα καὶ θείου πνεύ-
ματος ὡς ἀληθῶς ἔμπλεων αὐτοῦ, [τε] φιλοσόφῳ σχήματι μόνῳ τῷ
περὶ αὐτὸν ἀναβολαίῳ ἐξωμίδος τρόπον ἠμφιεσμένον νηφαλέῳ τε
λογισμῷ περὶ ὧν ἐβούλετο, τοῖς γνωρίμοις ἐντελλόμενον καὶ διανεύ-
οντα ἐπ᾽ αὐτῷ τε ἰκρίῳ τὸ πρόσωπον ἔτι φαιδρὸν διατηροῦντα,
ἀλλὰ καὶ ἀφθείσης ἔξω ἀπὸ μακροῦ ἀποστήματος κύκλῳ περὶ αὐτὸν
τῆς πυρᾶς, ἐνθένδε κἀκεῖθεν ἀφαρπάζοντα τῷ στόματι τὴν φλόγα
γενναιότατά τε εἰς ἐσχάτην ἀναπνοὴν ἐγκαρτεροῦντα τῇ σιωπῇ μετὰ
942 μίαν [τε] ἣν ἅμα καθαψαμένης αὐτοῦ τῆς φλογὸς ἀπέρρηξε φωνήν,
τὸν υἱὸν τοῦ θεοῦ Ἰησοῦν βοηθὸν ἐπιβοώμενος. τοιοῦτος καὶ ὁ
Πορφυρίου ἆθλος· τῆς δὲ κατ᾽ αὐτὸν τελειώσεως ἄγγελος τῷ Παμ-
φίλῳ γενόμενος Σέλευκος, τῶν ἀπὸ στρατείας τις ὁμολογητής, οἷα
τηλικαύτης ἀγγελίας διάκονος, τοῦ σὺν αὐτοῖς παραχρῆμα κλήρου

941 φαιδρὸν δὲ τὴν ὄψιν θαρσαλέωι τε φρονήματι καὶ γαύρωι τὴν ἐπὶ τὸν θάνατον
βαδίζοντα, θείου πνεύματος ὡς ἀληθῶς ἔμπλεων. καὶ δὴ φιλοσόφωι σχήματι
τῶι περὶ αὐτὸν ἀναβολαίωι τρόπον ἐξωμίδος ἠμφιεσμένος, ἄνω βλέπων καὶ πάντα
τὸν θνητὸν καὶ ἀνθρώπινον ὑπερφρονῶν βίον ἀτρεμεῖ τῆι ψυχῆι πρόσεισι τῆι
πυρᾶι. ἤδη δὲ αὐτῶι τῆς φλογὸς πελαζούσης ὡς ἂν μηδενὸς αὐτῶι παρόντος
λυπηροῦ, ἀταράχωι καὶ νήφοντι λογισμῶι περὶ τῶν οἰκείων τοῖς γνωρίμοις ὁ
ἥρως διετάττετο εἰς ἔτι τότε τὸ πρόσωπον φαιδρὸν καὶ ἀπαράλλακτον διαφυλάτ-
των. ὡς δὲ τοῖς γνωρίμοις αὐτάρκως συνετάξατο, πρὸς τὸν θεὸν ἤδη λοιπὸν
ἠπείγετο· τῆς γέ τοι πυρᾶς ἐξ ἀποστήματος κύκλωι περὶ αὐτὸν ἁφθείσης, ἐνθένδε
942 κἀκεῖθεν ὑφήρπαζε τῶι στόματι τὴν φλόγα, ἐπισπέρχων αὐτὸς ἑαυτὸν ἐπὶ τὴν
προκειμένην πορείαν· καὶ τοῦτο ἔπραττεν οὐδὲ ἕτερον ἢ Ἰησοῦν ἀνακαλού-
μενος. τοιοῦτος καὶ ὁ Πορφυρίου ἆθλος· τῆς δὲ κατ᾽ αὐτὸν τελειώσεως ἄγγε-
λος τῶι Παμφίλωι γενόμενος Σέλευκος τοῦ σὺν αὐτοῖς καταξιοῦται παραχρῆμα
κλήρου. αὐτίκα γοῦν διαγγείλαντα αὐτὸν τῶι Παμφίλωι τὸ τοῦ Πορφυρίου

ATER

**8** *αὐτοῦ* AT[1] *αὐτόν* T[r]ER *τε* streicht Schw

**1** *τε* streicht Schw

**20** *δὲ τὴν ὄψιν* p vgl. G *τῇ ὄψει* wo | *τὴν*[2] pG > wo | **22** *ἐξωμίδοσ* psG *ἐπωμίδοσ* wo | **23** *τὸν θνητὸν καὶ ἀνθρώπινον* ps *τὰ ἀνθρώπινα ὡσ θνητὸν* wo | *ἀτρεμεῖ* ps *ἀτρέμασ* wo | *πρόσεισι* p *προσείη* wo | **24** *δὲ αὐτῶι* Schw *ἑαυτῶ* pwo | *ἂν* wo *ἂν δὲ* p | **26** *ἥρωσ* p *μακάριοσ* wo | *τότε τὸ πρόσωπον* p vgl. G *τό τε πρόσωπον καὶ πᾶν τὸ σῶμα* wo | **28** *γέ* p *δέ* wo | *ἁφθείσησ* p *ἀναφθείσησ* wo

**17** *οὐδὲ* p *οὐδὲν* wo | **19** *παραχρῆμα* woG *παραυτίκα* p

942 καταξιοῦται. αὐτίκα γάρ τοι αὐτὸν διαγγείλαντα τὸ τοῦ Πορ-
φυρίου τέλος τῶν τε μαρτύρων ἕνα δή τινα φιλήματι προσειπόντα
ἐπιλαβόμενοι στρατιῶταί τινες ἄγουσιν ἐπὶ τὸν ἡγεμόνα· ὁ δὲ ὥσπερ
ἐπισπέρχων αὐτὸν τῶν πρότερον συναπόδημον τῆς εἰς οὐρανοὺς
γενέσθαι πορείας, αὐτίκα κεφαλικῇ τιμωρίᾳ κολασθῆναι προστάτ-
τει. οὗτος ἦν μὲν ἀπὸ τῆς Καππαδοκῶν γῆς, τῆς δ᾽ ἐν στρα- 21
τείαις ἐπιλέκτου νεολαίας καὶ τῶν ἐν Ῥωμαϊκοῖς ἀξιώμασιν οὐ μικρᾶς
τιμῆς ἐπειλημμένος· ἡλικίᾳ τε γὰρ καὶ ῥώμῃ σώματος μεγέθει τε
καὶ ἰσχύϊ παρὰ πλεῖστον ὅσον τοὺς συστρατιώτας ἐπλεονέκτει, ὡς
καὶ τὴν πρόσοψιν αὐτῷ περιβόητον τοῖς πᾶσιν εἶναι καὶ τὸ πᾶν
943 εἶδος ἀξιάγαστον μεγέθους ἕνεκα καὶ εὐμορφίας. κατ᾽ ἀρχὰς μὲν 22
οὖν τοῦ διωγμοῦ διὰ μαστίγων ὑπομονῆς τοῖς κατὰ τὴν ὁμολογίαν
διαπρέψας ἀγῶσιν, μετὰ δὲ τὴν τῆς στρατείας ἀπαλλαγὴν ζηλωτὴν
ἑαυτὸν καταστήσας τῶν τῆς θεοσεβείας ἀσκητῶν, ὀρφανῶν ἐρήμων
καὶ χηρῶν ἀπεριστάτων τῶν τε ἐν πενίαις καὶ ἀσθενείαις ἀπερριμ-
μένων ἐπίσκοπος ὥσπερ καὶ ἐπίκουρος πατρὸς καὶ κηδεμόνος δίκην

942 τέλος καὶ τῶν μαρτύρων ἕνα φιλήματι ἀσπασάμενον συλλαβόντες οἱ στρατιῶται
ἄγουσιν ἐπὶ τὸν ἡγεμόνα· ὁ δὲ ὥσπερ ἐπισπεύδων τῶν πρότερον αὐτὸν συναπό-
δημον γενέσθαι, κεφαλικῆι κολασθῆναι τιμωρίαι προστάττει. τῆς Καππα- 21
δοκῶν οὗτος ὡρμᾶτο γῆς, λαμπρότατα δὲ τῶν ἐν στρατείαις εὐδοκιμήσας, τῶν ἐν
Ῥωμαϊκαῖς προκοπαῖς οὐ μικρᾶς ἐπείληπτο ἀξίας· οὐ μὴν ἀλλὰ καὶ αὐτῆι ἡλικίαι
καὶ ῥώμηι σώματος μεγέθει τε καὶ ἰσχύος ἀρετῆι πλεῖστον ὅσον τοὺς λοιποὺς
ἐπλεονέκτει, καὶ τὴν πρόσοψιν δὲ αὐτὴν περίβλεπτος ἦν τοῖς πᾶσι τό τε πᾶν εἶδος
943 ἀξιάγαστος μεγέθους ἕνεκα καὶ εὐμορφίας. κατ᾽ ἀρχὰς μὲν οὖν τοῦ διωγμοῦ 22
διὰ μαστίγων ὑπομονῆς τοῖς κατὰ τὴν ὁμολογίαν διέπρεψεν ἀγῶσι· μετὰ δὲ τὴν
τῆς στρατείας ἀπαλλαγὴν ζηλωτὴν αὐτὸς ἑαυτὸν καταστήσας τῶν τῆς θεοσεβείας
ἀσκητῶν, Χριστοῦ γνήσιος στρατιώτης ἀποδέδεικται, ὀρφανῶν ἐρήμων καὶ χηρῶν
ἀπεριστάτων τῶν τε ἐν πενίαι καὶ ἀσθενείαι καταπονουμένων ἐπίσκοπός τις οἷα
καὶ φροντιστὴς ἐπιμελούμενος πατρός τε καὶ κηδεμόνος δίκην τῶν ἀπερριμμένων

ATER

**8** ἐπὶ ATE πρὸσ R | **9** τῶν TER τῶ A | **15** εἶναι A εἶναι ἀνδρείαν· T[1] εἶναι· ἀνδρείαν Tcam εἶναι ἀνδρείαν R εἶναι εἰσ ἀνδρίαν Tcb E

**21** ἕνα s vgl. G ἐνὶ wo τὸν δῆμον ἐν p | **22** ἡγεμόνα woG ἡγούμενον p | τῶν πρότερον G τῶν προτέρων wo τῶ προτέρω p | **23** κεφαλικῆ woG κεφαλῆ p | τιμωρία woG > p | **25** ἐπείληπτο p vgl. G ἐπιλέλειπτο wo | **25/26** αὐτῆ — σώματοσ p vgl. G αὐτὴ ἡ ἡλικία καὶ ἡ ῥώμη τοῦ σώματοσ wo | **26** πλεῖστον pG πλείστη wo | λοιποὺσ po λοιποὺσ ἀνουσ ws | **27** εἶδοσ pG εἶδοσ τοῦ σώματοσ wo

**21** τε καὶ p vgl. G τε wo

943 ἀναπέφανται· ὅθεν δὴ εἰκότως πρὸς τοῦ τοῖς τοιοῖσδε μᾶλλον τῶν
διὰ καπνοῦ καὶ αἵματος θυσιῶν χαίροντος θεοῦ τῆς κατὰ τὸ μαρ-
τύριον παραδόξου κλήσεως ἠξιώθη. δέκατος οὗτος ἀθλητὴς ἐπὶ 23
τοῖς δεδηλωμένοις ἐν μιᾷ καὶ τῇ αὐτῇ τετελείωτο ἡμέρᾳ, καθ' ἥν,
ὡς ἔοικεν, μεγίστης τῷ Παμφίλου μαρτυρίῳ ἐπαξίως τοῦ ἀνδρὸς
διανοιχθείσης πύλης, εὐμαρὴς ἅμ' αὐτῷ καὶ ἑτέροις ἡ πάροδος τῆς
εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσόδου γεγένηται. κατ' ἴχνη δῆτα 24
τῷ Σελεύκῳ Θεόδουλος, σεμνός τις καὶ θεοσεβὴς πρεσβύτης, τῆς
ἡγεμονικῆς τυγχάνων οἰκετίας τετιμημένος τε παρὰ τῷ Φιρμιλιανῷ
944 πλέον τῶν κατὰ τὸν οἶκον ἁπάντων, τοῦτο μὲν τῆς ἡλικίας ἕνεκεν
καὶ τῷ τριγενείας πατέρα καθεστάναι, τοῦτο δὲ δι' ἣν ἔσῳζεν περὶ
αὐτοὺς εὔνοιαν καὶ πιστοτάτην συνείδησιν, τὸ παραπλήσιον τῷ Σε-
λεύκῳ διαπραξάμενος, προσαχθεὶς τῷ δεσπότῃ καὶ μᾶλλον αὐτὸν
τῶν πρότερον ὀξύνας, ταὐτὸν τοῦ σωτηρίου μαρτύριον πάθους
σταυρῷ παραδοθεὶς κατεδέξατο. ἐπὶ τούτοις ἑνὸς ἔτι λείποντος, 25

943 ἁπάντων τοὺς πόνους καὶ τὰς κακοπαθείας ἀνακτώμενος· ὅθεν εἰκότως πρὸς τοῦ
τοῖς τοιοῖσδε χαίροντος θεοῦ μᾶλλον ἢ ταῖς διὰ καπνοῦ καὶ αἵματος θυσίαις τῆς
κατὰ τὸ μαρτύριον ἠξιώθη τελειώσεως. δέκατος οὗτος ἀθλητὴς σὺν τοῖς εἰρημένοις 23
μιᾶι καὶ τῆι αὐτῆι τετελείωτο ἡμέραι, καθ' ἥν, ὡς ἔοικε, μεγίστης τῶι Παμφίλου
μαρτυρίωι πύλης οὐρανῶν διανοιχθείσης, εὐμαρὴς ἅμ' αὐτῶι καὶ ἄφθονος ἡ τῆς
τοῦ θεοῦ βασιλείας ἐγένετο πάροδος. κατ' ἴχνος δῆτα τῶι Σελεύκωι Θεόδουλος 24
σεμνός τις καὶ θεοσεβὴς παρῄει πρεσβύτης, τῆς ἡγεμονικῆς οἰκετίας πρώτης
τιμῆς ἠξιωμένος τρόπων καὶ ἡλικίας ἕνεκα καὶ διὰ τὸ τριγενείας αὐτὸν πατέρα
944 καθεστάναι καὶ ἔτι μᾶλλον δι' ἣν ἔσωιζε περὶ τοὺς κηδεμόνας εὔνοιαν. τὸ
παραπλήσιον δὴ τῶι Σελεύκωι καὶ οὗτος διαπραξάμενος καί τινα τῶν μαρτύρων
ἀσπασάμενος φιλήματι, προσάγεται τῶι δεσπότηι, μᾶλλόν τε αὐτὸν τῶν ἄλλων ἐπ'
ὀργὴν ὀξύνας, ταὐτὸν τοῦ σωτηρίου μαρτύριον πάθους σταυρῶι παραδοθεὶς ἀνε-
δέξατο. ἐπὶ τούτοις ἑνὸς ἔτι λείποντος ὃς τὸν δωδέκατον ἀποπληρώσειεν τοῖς 25

**11/12** I Kor. 16, 19

ATER

**7** τοῦ τοῖς τοιοῖσδε Valois τούτοισ τοιοῖσδε A τούτοισ τοῖσ καεῖσι [-ιν T] TER
**2** τῷ AR τὸ Tr > T¹E

**22/23** τοῦ — θεοῦ G τοιούτοισ [τούτοισ o] δὴ χαίροντοσ θεοῦ [τοῦ θεοῦ o] wo τούτοισ οἷσ δὴ χαίρει θεὸσ ps | **26** ἅμ' αὐτῷ psG ἑαυτῷ wo | **27** ἐγένετο wo ἐγίγνετο p | **28** σεμνόσ τισ pG τισ σεμνὸσ wo | **29** τρόπων wo τρόπου p | τριγενείασ G τριγενεῖ wo τριγονίασ p

**17** τινα wo τινασ p | **18** αὐτὸν G ἑαυτὸν pwo | **19/20** σωτηρίου — ἀνεδέξατο G σωτηρίου μαρτυρίου πάθοσ — ἀνεδέξατο p σωτηρίου πάθουσ — ἀνεδέξατο μαρτύριον wo

944 ὃς τὸν δωδέκατον ἀποπλήσοι τοῖς δηλουμένοις μάρτυσιν ἀριθμόν,
Ἰουλιανὸς παρῆν τοῦτον ἀποπληρώσων· ἐξ ἀποδημίας γέ τοι ἀφι-
κόμενος αὐτίκα καὶ μηδ᾽ εἰσβαλὼν πω τῇ πόλει, εὐθὺς ὡς εἶχεν
ἀπὸ τῆς ὁδοῦ, μαθὼν καὶ ὁρμήσας ἐπὶ τὴν τῶν μαρτύρων θέαν,
ὡς ἐπὶ γῆς χαμαὶ τὰ τῶν ἁγίων εἶδεν σκηνώματα, χαρᾶς ἔμπλεως
γεγονώς, ἑκάστῳ περιπλακείς, τοὺς πάντας ἠσπάζετο. τοῦτο 26
ποιοῦντα συλλαβόντες αὖθις οἱ τῶν φόνων διάκονοι προσάγουσι τῷ
Φιρμιλιανῷ, ἀκόλουθα δ᾽ αὐτῷ ἐπιτελῶν μακρῷ καὶ τοῦτον πυρὶ
παραδίδωσιν. οὕτω δῆτα καὶ Ἰουλιανὸς σκιρτῶν καὶ ὑπεραλλόμε-
945 νος μεγάλῃ τε φωνῇ τῷ τηλικούτων αὐτὸν ἀξιώσαντι κυρίῳ ὑπερ-
ευχαριστῶν, τοῦ τῶν μαρτύρων κατηξιώθη στεφάνου. ἦν δὲ καὶ 27
οὗτος τὸ μὲν κατὰ σάρκα γένος Καππαδοκῶν, τὸν δὲ τρόπον εὐλα-
βέστατος καὶ πιστότατος καὶ γνησιώτατος σπουδαῖός τε τὰ ἄλλα
πάντα καὶ πνέων αὐτοῦ ἁγίου πνεύματος. τοιοῦτο τῆς συνοδίας
τὸ στῖφος τῶν ἅμα Παμφίλῳ συνεισελθεῖν ἐπὶ τὸ μαρτύριον ἀξιω-
θέντων. τούτων ἐπὶ τέσσαρας ἡμέρας τοσαύτας τε νύκτας ἐκ 28

944 εἰρημένοις ἀριθμόν, Ἰουλιανὸς παρῆν τοῦτον ἀποπληρώσων. ἐξ ἀποδημίας
οὗτος αὐτῆς ὥρας ἀφικόμενος μηδὲ εἰσβαλὼν πω τῆι πόλει, εὐθὺς ὡς εἶχεν ἀπὸ
τῆς ὁδοῦ, μαθὼν παρά του καὶ ὁρμήσας ἐπὶ τὴν τῶν μαρτύρων θέαν ὡς ἐπὶ τῆς
γῆς χαμαὶ κείμενα τὰ τῶν ἁγίων ἐθεάσατο σώματα, χαρᾶς ἔμπλεως γεγονώς,
ἑκάστωι περιπλέκεται, φιλήματι τοὺς πάντας ἀσπαζόμενος. ἔτι δὲ τοῦτο πράτ- 26
τοντα συλλαβόντες οἱ τῶν φόνων διάκονοι προσάγουσι τῶι ἄρχοντι· ὃ δὲ ἀκόλουθα
τῆι προαιρέσει τελῶν, μακρῶι καὶ τοῦτον πυρὶ παραδίδωσιν. οὕτω δῆτα καὶ
Ἰουλιανὸς σκιρτῶν καὶ ὑπεραλλόμενος μεγάληι τε τῆι φωνῆι τῶι τηλικούτων αὐ-
945 τὸν ἀγαθῶν ἀξιώσαντι θεῶι χάριτας ὁμολογῶν, μαρτύρων ἐν χοροῖς ἀνελαμ-
βάνετο. ἦν δὲ καὶ οὗτος τὸ μὲν γένος τῶν Καππαδοκῶν, τὸν δὲ τρόπον πλήρης 27
μὲν εὐλαβείας, πλήρης δὲ πίστεως, πρᾶος ἀνὴρ καὶ ἐπιεικὴς τά τε ἄλλα σπουδαῖος
καὶ πνέων εὐωδίας ἁγίου πνεύματος· τοσοῦτον συνοδίας στῖφος σὺν τῶι μακαρίωι
Παμφίλωι τῆς τοῦ μαρτυρίου τελειώσεως ἠξιώθη. ἐπὶ τέτταρας δῆτα ἡμέρας 28

ATER

**9** πω AT ποτε ER | **11** γῆσ A τοῦ TER | εἶδεν [-ε R] AR ἐνεῖδεν $T^{c}$E ἐνίδεν $T^{1}$ | **12** γεγονὼσ Ag > TER | **14** ἐπιτελῶν A κακεῖνοσ ἐπιτελῶν $T^{1}$ER κἀκείνοισ $T^{r}$

**6** τῶν A > TER

**22** πω G πωσ pwo | **23** παρά του ps παρ᾽ αὐτῶν wo | **24** ἁγίων wosG μαρτύρων p | **25/26** πράττοντα pG πράττοντι wo | **26** δὲ pG δὲ ἀνόσιοσ wo | **28** ὑπεραλλόμενοσ pG ἀγαλλόμενοσ wo | τε oG > pw

**17** τῶν καππαδοκῶν psG τῶν [τῆσ o] καππαδοκῶν γῆσ wo | **20** δῆτα Schw δὴ τὰσ pwo

945 *προστάξεως τοῦ δυσσεβοῦς ἡγουμένου τὰ ἱερὰ καὶ ὄντως ἅγια σώ-
ματα εἰς βορὰν τοῖς σαρκοβόροις ἐτηρεῖτο· ὡς δ' οὐδὲν αὐτοῖς παρα-
δόξως, οὐ θηρίον, οὐ πτηνόν, οὐ κύων προσεπέλαζεν, αὖθις ἐξ
οἰκονομίας τῆς τοῦ θεοῦ προνοίας ἀβλαβῆ ληφθέντα τῆς τε προσ-
ηκούσης κηδείας λαχόντα, τῇ συνήθει παρεδόθη ταφῇ. ἔτι δὲ* 29
*τῆς κατὰ τούτους κινήσεως ἀνὰ στόμα τοῖς πᾶσι λαλουμένης, Ἀδρι-
ανὸς καὶ Εὔβουλος ἀπὸ Βαταναίας οὕτω καλουμένης χώρας ὡς τοὺς
λοιποὺς ὁμολογητὰς εἰς τὴν Καισάρειαν ἀφικόμενοι, πρὸς τῇ πύλῃ*
946 *καὶ αὐτοὶ δι' ἣν ἐληλύθασιν ἀνεκρίνοντο αἰτίαν· εἶτα ὁμολογήσαντες
τἀληθές, τῷ Φιρμιλιανῷ προσάγονται. ὁ δ' ὡς εἶχεν, πάλιν μηδὲν
ὑπερθέμενος, μετὰ πλείστας βασάνους ἃς κατὰ τῶν πλευρῶν αὐτοῖς
ἐπιτέθεικεν, θηρίων αὐτοὺς βορᾷ κατακρίνει. δυεῖν δὴ οὖν μεταξὺ* 30
*διελθουσῶν ἡμερῶν, ὁ μὲν Ἀδριανὸς Δύστρου πέμπτῃ μηνός, πρὸ* 310
*τριῶν Νώνων Μαρτίων, γενεθλίων τῆς κατὰ Καισάρειαν νομι-
ζομένης Τύχης ἡμέρᾳ, λέοντι παραβληθεὶς καὶ μετὰ τοῦτον ξίφει
κατασφαγεὶς ἐτελειώθη· ὁ δὲ Εὔβουλος μεθ' ἑτέραν μέσην, Νώναις
αὐταῖς, ᾗ γένοιτ' ἂν ἑβδόμη Δύστρου, πολλὰ λιπαρήσαντος αὐτὸν
τοῦ δικαστοῦ ὡς ἂν θύσας τῆς νομιζομένης παρ' αὐτῶν ἐλευθερίας
τύχοι, τῆς προσκαίρου ζωῆς τὸν ὑπὲρ εὐσεβείας εὐκλεῆ προτιμήσας
θάνατον, μετὰ τοὺς θῆρας ὁμοίως τῷ προτέρῳ θῦμα γενόμενος,
ὕστατος τῶν ἐπὶ τῆς Καισαρείας μαρτύρων τοὺς ἄθλους ἐπεσφρα-
γίσατο. μνημονεῦσαι δ' ἔτι ἄξιον ἐνταῦθα τοῦ λόγου ὡς ἄρα οὐκ* 31
*εἰς μακρὸν τῆς οὐρανίου προνοίας τοὺς δυσσεβεῖς ἄρχοντας αὐτοῖς*

945 *τοσαύτας τε νύκτας προστάξει τοῦ Φιρμιλιανοῦ τὰ πανάγια σώματα τῶν τοῦ θεοῦ μαρτύρων εἰς βορὰν τοῖς σαρκοβόροις θηρίοις ἐξέκειτο· ὡς δὲ οὐδὲν αὐτοῖς προσήιει, οὐ θήρ, οὐκ ὄρνεον, οὐ κύων, ἐξ οἰκονομίας θεοῦ ληφθέντα σῶα καὶ ἀβλαβῆ, τῆς προσηκούσης τιμῆς καὶ κηδείας λαχόντα, τῆι συνήθει παρεδόθη ταφῆι, ναῶν οἴκοις περικαλλέσιν ἀποτεθέντα ἐν ἱεροῖς τε προσευκτηρίοις εἰς ἄληστον μνήμην τῶι τοῦ θεοῦ λαῶι τιμᾶσθαι παραδεδομένα.*

ATER

**10** *θηρίον — πτηνόν — κύων* A *θηρίων — πτηνῶν — κυνῶν* TER | **14** *Βαταναίας* s *βαγανείασ* TE *γαβαναίασ* R *μαγγαναίασ* A

**6** *καισάρειαν* $T^{c}$E *καισαρέων* A$T^{1}$R | **8** *μέσην* A$T^{1}$ *μίαν* $T^{r}$ER, $T^{cm}$ getilgt | **9** *αὐταῖσ* TER *αὐταῖσ μαρτίαισ* A | **10** *αὐτῶν* A$T^{1}$ *αὐτῷ* $T^{c}$ER | **14** *ἄξιον* AR *καὶ ἄξιον* TE

**23** *κύων* pG *κύων οὐκ ἄλλο τι* wo | *ληφθέντα* G *λειφθέντα* p *φυλαχθέντα ἀλλὰ καὶ* [*καὶ* > o] wo | **25** *ἄληστον* ps *ἄληκτον* wo | **26** *παραδεδομένα* ps *παραδεδομένα εἰσ δόξαν χῦ τοῦ ἀληθινοῦ θῦ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτοσ ἅμα τῷ πρι σὺν τῷ ἁγίῳ πνι νῦν καὶ ἀεὶ εἰσ τοὺσ αἰῶνασ τῶν αἰώνων ἀμήν* wo

946 τυράννοις μετελθούσης, ὁ τὰ τοσαῦτα κατὰ τῶν τοῦ Χριστοῦ μαρ-
τύρων παροινήσας, αὐτὸς δὴ ὁ Φιρμιλιανός, μετὰ τῶν ἄλλων ἐσχά-
την ὑπομείνας τιμωρίαν ξίφει τὴν ζωὴν καταστρέφει. καὶ τὰ μὲν
κατὰ Καισάρειαν ἐφ' ὅλοις τοῖς τοῦ διωγμοῦ χρόνοις ἐπιτελεσθέντα
μαρτύρια τοιαῦτα·

ὅσα δ' ἐπὶ τούτοις κατὰ τὸν ἐν μέσῳ χρόνον ἐπιτελεσθῆναι 12
συμβέβηκεν κατά τε τοὺς τῶν ἐκκλησιῶν προεστῶτας, ὡς ἀντὶ
ποιμένων τῶν λογικῶν τοῦ Χριστοῦ προβάτων, ὧν οὐκ ἐνθέσμως
προὔστησαν, καμήλων, ἀλόγου καὶ τῇ τοῦ σώματος φύσει σκολιω-
τάτου ζῴου, φροντιστὰς αὐτοὺς ὥσπερ εἰ τούτων ἀξίους ἡ θεία
κατακρίνασα δίκη προεστήσατο, ὅπως τε βασιλικῶν ἵππων ἐνόχους
παραστάσει κατεδίκασεν, ὅσα τε τῶν ἱερῶν σκευῶν τῶν ⟨τ'⟩ ἐκκλη-
σιαστικῶν ἕνεκα κειμηλίων οἱ αὐτοὶ πρὸς τῶν κατὰ καιροὺς βασι-
λικῶν ἐπιτρόπων τε καὶ ἀρχόντων ἐν ὕβρεσι καὶ ἀτιμίαις καὶ βα-
σάνοις ἀνατετλήκασι, τάς τε ἐπὶ τούτοις τῶν πολλῶν φιλαρχίας
947 ἀκρίτους τε καὶ ἐκθέσμους χειροτονίας καὶ τὰ ἐν αὐτοῖς ὁμολογηταῖς
σχίσματα, ὅσα τε οἱ νέοι στασιώδεις κατὰ τῶν τῆς ἐκκλησίας λειψά-
νων διὰ σπουδῆς ἐμηχανήσαντο, καινότερα καινοῖς ἐπινεωτερίζοντες
καὶ ἀφειδῶς ταῖς τοῦ διωγμοῦ συμφοραῖς ἐπεντρίβοντες καὶ κακὰ
κακοῖς ἐπιτειχίζοντες, ταῦτα πάντα παρήσειν μοι δοκῶ, ἀνοίκειον
ἐμαυτῷ κρίνας παραιτουμένῳ τε καὶ ἀποφεύγοντι, ὡς δοὺν καὶ
ἀρχομένῳ μοι εἴρηται, τὴν περὶ τούτων διήγησιν, ἀλλὰ γὰρ ὅσα
σεμνὰ καὶ εὔφημα κατὰ τὸν ἱερὸν λόγον καὶ εἴ τις ἀρετὴ καὶ ἔπαι-
νος, ταῦτα λέγειν τε καὶ γράφειν καὶ πισταῖς ἀκοαῖς παρέχεσθαι
οἰκειότατον ἡγούμενος τῇ τῶν θαυμαστῶν μαρτύρων ἱστορίᾳ. καὶ
τῇ μετὰ ταύτην οὐρανόθεν ἡμῖν ἐπιφανείσῃ εἰρήνῃ κοσμήσειν μοι
δοκῶ τοῦ παντὸς λόγου τὴν περιγραφήν.

Ἕβδομον ἔτος τοῦ καθ' ἡμῶν ἀγῶνος ἠνύετο, καί πως ἠρέμα 13 1
τῶν καθ' ἡμᾶς ἡσυχῇ τὸ ἀπερίεργον εἰληφότων εἰς ὄγδοόν τε δια- 310/1
γενομένων ἔτος, ἀμφὶ τὰ ἐν Παλαιστίνῃ χαλκοῦ μέταλλα οὐκ ὀλίγης
ὁμολογητῶν συγκεκροτημένης πληθύος πολλῇ τε τῇ παρρησίᾳ χρω-
μένων, ὡς καὶ οἴκους εἰς ἐκκλησίας δείμασθαι, ὁ τῆς ἐπαρχίας

**6/7** verweist auf das verlorene Prooemion, vgl. 740, 24—742, 7

ATER

**16** *ὁ* TER *ὁ γὰρ* A | *τοῦ* A > TER | **24** *ἀλόγου* A, T durch Rasur *ἀλόγων* T¹ER | **27** *τ'* ergänzt Schw | **30** *ἀνατετλήκασι* Tr auf Rasur, ER *ἀνηντλήκασι* A

**7** *τὴν περὶ* A *περὶ τὴν* TrER *περὶ* T¹ | *γὰρ* A > TER | **8/9** *ἔπαινοσ* AT *εἰ τισ ἔπαινοσ* ER

947 ἄρχων, δεινός τις ὢν καὶ πονηρὸς καὶ οἷον αὐτὸν τὰ κατὰ τῶν
μαρτύρων δρασθέντα συνέστησεν, ἐπιδημήσας αὐτόθι καὶ τὴν τῶν
ἐκεῖσε διαγωγὴν πυθόμενος, βασιλεῖ κοινοῦται, ὅσα δοκεῖν, εἰς δια-
βολὴν καταγράφων, εἶτ᾽ ἐπιστὰς ὁ τοῖς μετάλλοις ἐπιτεταγμένος, 2
ὡς ἂν ἐκ βασιλικοῦ νεύματος διελὼν τὴν τῶν ὁμολογητῶν πληθύν,
τοῖς μὲν Κύπρον, τοῖς δὲ τὸν Λίβανον οἰκεῖν ἔνειμεν, ἄλλους τε
ἄλλαις κατὰ Παλαιστίνην χώραις κατασπείρας, τοὺς πάντας διαφό-
ροις πονεῖσθαί τισιν ἔργοις ἐπικελεύεται. εἶτα τέσσαρας τοὺς 3
μάλιστα δοκοῦντας αὐτῶν κορυφαίους ἐπιλεξάμενος ἐπὶ τὸν ἐφεστῶτα
τοῖς αὐτόθι στρατεύμασι παραπέμπεται· Πηλεὺς ἦν καὶ Νεῖλος, ἐπί-
σκοποι Αἰγυπτίων, καὶ πρεσβύτερος ἄλλος, καὶ ἐπὶ τούτοις ὁ τοῖς
πᾶσι διὰ τὴν περὶ πάντας σπουδὴν γνωριμώτατος Πατερμούθιος·
οὓς ὁ στρατοπεδάρχης, ἄρνησιν τῆς θεοσεβείας αἰτήσας καὶ μὴ τυ-
χών, τῇ διὰ πυρὸς τελειώσει παραδίδωσιν. ἄλλοι δ᾽ αὖ πάλιν 4
ἐτύγχανον ἐκεῖσε ἐφ᾽ ἑαυτοῖς ἰδίαν χώραν οἰκεῖν λαχόντες, ὅσοι τῶν
948 ὁμολογητῶν ἤτοι διὰ γῆρας ἢ διὰ πηρώσεις ἢ ἄλλας σωμάτων
ἀσθενείας τῆς ἐν τοῖς ἔργοις ἀπολέλυντο λειτουργίας· ὧν ἡγεῖτο ἐκ
τῆς Γαζαίων ἐπίσκοπος ὁρμώμενος Σιλβανός, εὐλαβές τι χρῆμα καὶ
γνήσιον ὑπόδειγμα Χριστιανισμοῦ φέρων. οὗτος δή, ὡς εἰπεῖν, 5
ἀπὸ τῆς πρώτης ἡμέρας τοῦ διωγμοῦ καὶ διὰ παντὸς τοῦ χρόνου
παντοίοις ἀγῶσιν ὁμολογιῶν διαπρέψας, εἰς ἐκεῖνο τοῦ καιροῦ τετή-
ρητο, ὡς ἂν ὕστατον γένοιτο παντὸς τοῦ κατὰ Παλαιστίνην ἀγῶνος
ἐπισφράγισμα. τούτῳ δὲ καὶ τῶν ἀπ᾽ Αἰγύπτου συνῆσαν πλείους, 6
ἐν οἷς ἦν καὶ Ἰωάννης, ὃς τῇ περὶ μνήμας ἀρετῇ τοὺς καθ᾽ ἡμᾶς
ὑπερεβάλετο πάντας. τῶν μὲν οὖν ὄψεων καὶ πρότερον οὗτος
ἐστέρητο, ὅμως δὲ καὶ ἐφ᾽ αἷς διέπρεψεν ὁμολογίαις, ὁμοίως τοῖς
ἄλλοις καυτῆρσιν ἀφανισθεὶς τὸν πόδα, κατὰ τῆς μὴ ἐνεργούσης
ὁράσεως τὸν αὐτὸν τοῦ πυρὸς καυτῆρα εἰλήφει, τῶν δημίων ἐπὶ τὸ
ἀνηλεὲς καὶ ἀσυμπαθὲς τὸ τοῦ τρόπου ὠμὸν καὶ ἀπάνθρωπον ἐπι-
τεινόντων. τοιοῦτον δὴ ὄντα ἦθους μὲν καὶ βίου φιλοσόφου τί 7
ἄν τις ἀποθαυμάσειεν, οὐχ οὕτως ἀναφανέντος παραδόξου, ὅσον τῆς ἐν μνήμαις ἀρετῆς, ὅλας βίβλους τῶν θείων γραφῶν οὐκ ἐν πλαξὶ λιθίναις, ᾗ φησιν ὁ θεῖος ἀπόστολος, ἀλλ᾽ οὐδὲ ἐν ζῴων δοραῖς ἢ χάρταις ὑπὸ σητῶν καὶ χρόνου διαφθειρομένοις, ἀλλ᾽ ἐν πλαξὶν ὡς ἀληθῶς καρδίας σαρκίναις ψυχῇ τε διαυγεῖ καὶ καθαρωτάτῳ

**24** χώραισ TER χώρασ A
**17/18. 20** II Kor. 3, 3

ATER

**10** πρότερον A πρότεροσ TER | **20** καρδίασ T durch Ras., E durch Ras., R καρδίαισ $AT^1E^1$

948 διανοίας ὄμματι καταγεγραμμένου, ὡς προφέρειν γε, ὅτε καὶ βού-
λοιτο, διὰ στόματος ὥσπερ ἀπό τινος λόγων θησαυροῦ τοτὲ μὲν
νομικὴν καὶ προφητικὴν γραφήν, τοτὲ δὲ ἱστορικήν, εὐαγγελικήν τε
ἄλλοτε καὶ ἀποστολικήν. καταπλαγῆναί ποτε αὐτὸς ὁμολογῶ 8
πρῶτον τὸν ἄνδρα θεασάμενος μέσον ἱκανοῦ πλήθους ἐκκλησίας
ἑστῶτα καί τινα μέρη θείας γραφῆς διεξιόντα. ἕως μὲν γὰρ φωνῆς
αὐτὸ μόνον ἐπακροᾶσθαί μοι παρῆν, ἀναγινώσκειν, οἷα δὴ ἔθος ἐν
ταῖς συνόδοις, τινὰ ἡγούμην· ὡς δὲ ἄγχιστα γενόμενος τὸ πραττό-
μενον συνεῖδον, τοὺς μὲν ἄλλους ἅπαντας ὑγιέσιν ὀφθαλμοῖς ἐν
κύκλῳ περιεστῶτας, τοῦτον δὲ μόνοις τοῖς τῆς διανοίας χρώμενον
καὶ ἀτεχνῶς οἷά τινα προφήτην ἀποφθεγγόμενον παρὰ πολύ τε
πλεονεκτοῦντα τοὺς τὸ σῶμα ἐρρωμένους, οὐδ᾽ ὅπως οὖν δοξάζειν
τὸν θεὸν καὶ ἀποθαυμάζειν οἷός τε ἦν, σαφές τε πεῖσμα καὶ βέβαιον
αὐτοῖς ἔργοις ἐδόκουν μοι ὁρᾶν, ὅτι δὴ μόνος κατ᾽ ἀλήθειαν οὐχ ὁ
949 ἐν τῷ προφανεῖ σώματι νενομισμένος πέφυκεν ἄνθρωπος, ἀλλ᾽ ὁ
κατὰ ψυχὴν καὶ διάνοιαν, ὃς καὶ τοῦ σώματος λελωβημένου μείζονα
τὴν ἀρετὴν τῆς καθ᾽ αὐτὸν δυνάμεως ἐπεδείκνυτο. ἀλλὰ γὰρ τοὺς 9
δεδηλωμένους κατὰ τὸν ἀποκριθέντα τόπον διατρίβοντας τά τε
συνήθη ἐν ἀσιτίαις καὶ προσευχαῖς καὶ ταῖς λοιπαῖς ἀποτελοῦντας
ἀσκήσεσιν, θεὸς μέν, θεὸς αὐτὸς τῆς σωτηρίου τελειώσεως τυχεῖν
ἠξίου, δεξιὰν αὐτοῖς ἐπήκοον παρέχων, ὁ δὲ πολέμιος ἐχθρός, ἅτε
σχολαίτατα κατ᾽ αὐτοῦ διὰ τῶν πρὸς θεὸν εὐχῶν ὁπλιζομένους
μηκέθ᾽ οἷός τε φέρειν, κτείνειν καὶ μεταίρειν ἀπὸ γῆς ὡς ἂν ἐνο-
χλοῦντας ἐνόμιζεν. θεὸς δὲ αὐτῷ καὶ τοῦτο πράττειν ἐγχειροῦντι 10
συνεχώρει, ὡς ὁμοῦ γε αὐτὸς τῆς αὐτοῦ κατὰ προαίρεσιν μὴ εἴργοιτο
πονηρίας ἐκεῖνοί τε τῶν πολυτρόπων ἀγώνων ἤδη ποτὲ ἀπολάβοιεν
τὰ βραβεῖα. ταύτῃ οὖν ἑνὸς δέοντες τὸν ἀριθμὸν τεσσαράκοντα
νεύματι τοῦ παναγεστάτου Μαξιμίνου ἐν ἡμέρᾳ μιᾷ τὰς κεφαλὰς
ἀποτέμνονται.

Ταῦτα μὲν οὖν τὰ κατὰ Παλαιστίνην ἐν ὅλοις ἔτεσιν ὀκτὼ 11
συμπερανθέντα μαρτύρια καὶ τοιοῦτος ὁ καθ᾽ ἡμᾶς διωγμός, ἀρξά-
μενος μὲν ἀπὸ τῆς τῶν ἐκκλησιῶν καθαιρέσεως, εἰς μέγα δὲ προ-
κόψας ἐν ταῖς κατὰ χρόνους τῶν ἀρχόντων ἐπαναστάσεσιν, ἐν αἷς
πολύτροποι καὶ πολυειδεῖς τῶν ὑπὲρ εὐσεβείας ἠθληκότων ἀγῶνες
ἀνήριθμόν τι πλῆθος μαρτύρων κατὰ πᾶσαν ἐπαρχίαν συνεστήσαντο
ἐν τοῖς ἀπὸ Λιβύης καὶ δι᾽ ὅλης Αἰγύπτου Συρίας τε καὶ τῶν ἀπ᾽

ATER

27 αὐτὸ AT¹Tr [Tc unleserlich] αὐτοῦ ER

6 μὲν θσ̄ AT¹ μὲν T durch Ras., ER | 9/10 ἐνοχλοῦντασ ἐνόμιζεν TER ἐνόμιζεν ἐνοχλοῦντασ A | 13 δέοντεσ AT δέοντοσ ER

ἀνατολῆς καὶ κύκλῳ μέχρι τῶν κατὰ τὸ Ἰλλυρικὸν κλίμα παρατεί-
νουσιν. τὰ γάρ τοι ἐπέκεινα τῶν δεδηλωμένων, Ἰταλία πᾶσα καὶ 12
Σικελία Γαλλία τε καὶ ὅσα κατὰ δυόμενον ἥλιον ἐπὶ Σπανίαν Μαυ-
ριτανίαν τε καὶ Ἀφρικήν, οὐδ᾽ ὅλοις ἔτεσιν δυσὶ τοῖς πρώτοις τοῦ
διωγμοῦ τὸν πόλεμον ὑπομείναντα, ταχίστης ἠξιώθησαν ἐπισκοπῆς
τε θεοῦ καὶ εἰρήνης, τῆς οὐρανίου προνοίας φειδὼ τῆς τῶν ἀνδρῶν
ἁπλότητος καὶ πίστεως ποιουμένης. ὃ γοῦν μηδὲ ἱστόρηται ἐν 13
τοῖς ἀνέκαθεν τῆς Ῥωμαίων ἀρχῆς, τοῦτο νῦν πρῶτον καθ᾽ ἡμᾶς
παρὰ πᾶσαν γέγονεν ἐλπίδα· διαιρεῖται μὲν γὰρ ἐπὶ τῷ καθ᾽ ἡμᾶς
διωγμῷ διχῇ τὰ τῆς βασιλείας, εἰρήνης δ᾽ ἀπολαύουσιν οἱ ἐν θατέρῳ
μέρει τῷ προδεδηλωμένῳ κατοικοῦντες ἀδελφοί, τῶν ἀνὰ τὴν ἄλλην
οἰκουμένην μυρίους ἐπὶ μυρίοις ἀγῶνας ὑπομεινάντων. ἀλλὰ γὰρ 14
ὅτε καὶ τὴν καθ᾽ ἡμᾶς ἐπισκοπὴν εὐμενῆ καὶ ἵλεω ἡ θεία καὶ οὐρά-
νιος χάρις ἐνεδείκνυτο, τότε δῆτα καὶ οἱ καθ᾽ ἡμᾶς ἄρχοντες, αὐτοὶ
δὴ ἐκεῖνοι δι᾽ ὧν πάλαι τὰ τῶν καθ᾽ ἡμᾶς ἐνηργεῖτο πολέμων,
παραδοξοτάτῳ γνώμῃ μεταβαλλόμενοι παλινῳδίαν ᾖδον, χρηστοῖς
περὶ ἡμῶν προγράμμασιν καὶ ἡμέροις διατάγμασιν τὴν καθ᾽ ἡμῶν
πυρκαϊὰν ἀποσβεννύντες· ἀναγραπτέα δὴ καὶ ἡ παλινῳδία.

1—7 vgl. 788, 10—16

ATER

29—32 vgl. 776, 1—3

Unterschrift *εὐσεβίου τοῦ παμφίλου περὶ τῶν ἐν παλαιστίνῃ* [*καισαρείᾳ* E] *μαρτυρησάντων* ATE